Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: qao-aa

*Ἀρεταῖος ὁ Καππάδοξ* · Aretaeus the Cappadocian

# On Causes and Signs of Chronic Diseases

*Περὶ αἰτίων καὶ σημείων χρονίων παθῶν*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

1.1 ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ ΚΑΙ ΣΗΜΕΙΩΝ ΧΡΟΝΙΩΝ ΠΑΘΩΝ ΒΙΒΛΙΟΝ Α. Περὶ χρονίων παθῶν.

1.1.1 Χρονίων νούσων πόνος μὲν πουλύς, χρόνος δὲ μακρὸς ξυντήξιος, καὶ ἀβέβαιος ἡ ἄλθεξις. ἢ γὰρ οὐδ’ ἐξηλάθησαν ἐς τὸ ξύμπαν, ἢ ἐπὶ σμικρῇ ἁμαρτωλῇ παλινδρομέουσι αἱ νοῦσοι. οὔτε γὰρ ἀτρεμέειν οἱ νοσέοντες τολμέουσι ἐς τέλος· ἀτὰρ ἠδὲ ἁμαρτάνουσι ἐν τῇσι μακρῇσι διαίτῃσι, κἢν ἀτρεμέωσι. ἢν δὲ καὶ πόνος ἔῃ ἐπιπόνου ἰήσιος, δίψης, λιμοῦ, φαρμάκων πικρῶν, καὶ ὀδυνέων, ἢ τομῆς, ἢ καύσιος, ὧνπερ ἐστὶ ἐν τῇσι δολιχῇσι νούσοισι χρέος, ὑποδιδρήσκουσι οἱ κάμνοντες ὡς θανάτου δῆθεν αὐτέου ὀρεγόμενοι.

1.1.2 ἔνθα δὴ ἀρετὴ διαείδεται ἀνδρὸς ἰητροῦ, καὶ μακροθυμίης, καὶ ποικιλίης, καὶ χάριτος ἀβλαβοῦς τῶν ἡδέων, καὶ παραιφάσιος· ἀτὰρ καὶ τὸν νοσέοντα χρὴ ἄλκιμον ἔμμεναι, καὶ ξυνίστασθαι τῷ ἰητρῷ κατὰ τοῦ νοσήματος. οὐ γὰρ τοῦ σώματος μούνου ἀπρὶξ λαβόμενον ταχὺ ἀνασμύχει τε καὶ δάπτει, ἀλλ’ ἐς πολλὰ καὶ τὴν αἰσθησίην ἐκτρέπει, ἀλλὰ καὶ τὴν ψυχὴν ἐκμαίνει ἀκρασίῃ τοῦ σώματος. τοιήνδε τὴν μανίην καὶ τὴν μελαγχολίην ἴσμεν, περὶ ὧν αὖθις ἐρέω· τὰ νῦν δ’ ἀμφὶ κεφαλαίης φράσω. Περὶ κεφαλαίης.

1.2.1 Ἢν ἀλγέῃ κεφαλὴ σχεδίως ἐπὶ προσκαίρῳ αἰτίῃ, κἢν ἐπὶ πλεῦνας, κεφαλαλγίη καλέεται. ἢν δὲ διεθίζῃ χρόνῳ μακρῷ τὸ ἄλγημα, καὶ περιόδοισι μακρῇσι καὶ πολλῇσι, καὶ προσεπιγίγνηται μέζω τε καὶ πλεῦν δυσαλθῆ, κεφαλαίην κικλήσκομεν. ἰδέαι δὲ μυρίαι. τισὶ μὲν γὰρ ἀΐδιος ὁ πόνος καὶ σμικρός, ἀλλ’ οὐ διαλείπων· τισὶ δὲ ἐς περίοδον περιπλεῖ, ὅκως τοῖσι πυρεταίνουσι ἀμφημερινὸν 〈ἢ〉 παρ’ ἡμέρην· ἄλλοισι δ’ ἀπὸ δύσιος ἐς μεσημβρίην, καὶ τῇδε τέλεον ἀποπαύεται· ἢ ἀπὸ μεσημβρίης ἐς ἑσπέρην· ἢ ἐπίπροσθεν ἐς νύκτα. ἥδε ἡ περίοδος οὐ κάρτα δηθύνει. καὶ τισὶ μὲν ἡ κεφαλὴ ἀλγέει πᾶσα· καὶ ἥδε ἄλλοτε μὲν ἐπὶ δεξιά, ἄλλοτε δὲ ἐπ’ ἀριστερά· ἢ μέτωπον, ἢ βρέγμα, καὶ ταῦτα ἐν τῇ αὐτῇ ἡμέρῃ ῥεμβώδεα τρόπον. τισὶ δὲ [καὶ] τὰ δεξιὰ μοῦνον, ἢ τὰ λαιὰ μοῦνον, ἐς ὅσον [ὅρων] κρόταφος, ἢ ὦς, ἢ καὶ ὀφρὺς μία, ἢ ὀφθαλμὸς εἷς μέσφι μέσου, ἢ ῥὶς ἐς ἶσα τέμνει μοῦνον, ἐπέκεινα δὲ τὸ ἄλγημα οὐ περῇ· ἐν ἡμίσεϊ μίμνει τῷ τῆς κεφαλῆς χωρίῳ.

1.2.2 ἑτεροκρανίη τόδε [μοῦνον] καλέεται· οὐκ εὔηθες κακόν, κἢν διαλείπῃ, κἢν σμικρὸν ἔμμεναι δοκέῃ. ἢν γὰρ ἐμπέσῃ κοτὲ ὀξέως, αἰσχρὰ καὶ δεινὰ πρήσσει. σπασμὸς καὶ διαστροφὴ τοῦ προσώπου γίγνεται· ὀφθαλμοὶ ἢ ἀτενέες κεράεσι ἴκελοι πεπήγασι, ἢ τῇδε κἀκεῖσε σπασμωδέως ἔνδον εἱλῶνται· σκοτόδινος· ὀφθαλμῶν ὑποβρύχιος πόνος ἄχρι μηνίγγων· ἱδρὼς ἄσχετος·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τενόντων ἐξαπίνης ἄλγος, ὡσπερεί τινος πατάξαντος ξύλῳ· ναυτίη, ἔμετος χολωδέων, κατάπτωσις τοῦ ἀνθρώπου· ἢν δ’ ἐπιτείνῃ κοτὲ τὸ πάθος, ὤνθρωπος ἐτελεύτησε.

1.2.3 ἢν δὲ σμικρότερον ᾖ καὶ ἐς ὄλεθρον ἀσινές, χρονίζει· ὄκνος πουλύς, καρηβαρίη, ἀπορίη, ζωὴ δύσφορος. καὶ γάρ κως φεύγουσι τὴν αὐγήν, σκότος δὲ πρηΰνει τουτέοισι τὴν νοῦσον· οὐδὲ ἐσιδεῖν τι ἢ ἀκοῦσαι τερπνὸν εὔφοροι· κάκοδμοι τὴν ὄσφρησιν, καὶ οὔτε τι εὐῶδες αὐτέους τέρπει, ἐκτρέπονται δὲ καὶ τὰ κακώδεα· ἄχθονται τῷ βίῳ, θανατῶσι ὤνθρωποι. αἰτίη δὲ τουτέων ξὺν ξηρότητι ψῦξις. ἢν δὲ δηθύνῃ καὶ ἐς μέζον ἕρπῃ ἐπὶ τοῖσι πόνοισι, τὸ πάθος σκότωμα γίγνεται. Περὶ σκοτωματικῶν.

1.3.1 Ἢν ζόφος τὰς ὄψιας σχῇ, καὶ δῖνος ἀμφὶ τὴν κεφαλὴν ἑλίσσηται, καὶ ὦτα βομβέῃ, ὅκως ῥεόντων καναχηδὸν ποταμῶν, ἢ οἷον ἄνεμος ἱστίοισι ἐγκυβερνέῃ, ἢ αὐλῶν [ἢ] καὶ συρίγγων ἐνοπή, ἢ τρισμοῦ ἁμάξης ἰαχή, ὀνομάζομεν σκότωμα τὸ πάθος. κακὸν μέν, κἢν ξύμπτωμα κεφαλῆς, κακὸν δέ, κἢν ἐκ διαδέξιος κεφαλαίης, ἢ ἐξ ωὐτέης χρονίου νούσου φυῇ. ἢν γὰρ τάδε μὲν [μὴ] ἀπογίγνηται, μίμνῃ δὲ ἡ σκοτοδίνη ἢ χρόνῳ μακρῷ τελεωθῇ τοῖσι ἰδίοισι ξυμπτώμασι οὔ τινος ἀκεομένου, τὸ πάθος σκότωμα γίγνεται ἐπ’ αἰτίῃ ὑγρῇ τε καὶ ψυχρῇ.

1.3.2 ἀλλὰ καὶ ἀρχὴ παθέων ἄλλων, ἢν ἐς ἀνήκεστον τραπῇ, μανίης, μελαγχολίης, ἐπιληψίης προσεπιγιγνομένων ἑκάστῃ τῶν ἰδίων ξυμπτωμάτων. σκοτώματος δὲ ἡ ἰδέη, βάρος τῆς κεφαλῆς, ὀφθαλμῶν μαρμαρυγαὶ ἐπὶ πολλῷ τῷ σκοτώδεϊ, ἀγνωσίη ἑωυτέων τε καὶ τῶν πέλας. κἢν ἐπ’ αὐξήσει ἡ νοῦ- σος γίγνηται, τά τε γυῖα λύονται καὶ ἕρπονται χαμαί· ναυτίη καὶ ἔμετος φλέγματος ἢ χολωδέων, ξανθῶν ἢ μελάνων. εὖτε ἐπὶ μὲν ξανθῇ χολῇ, μανίαι γίγνονται· ἐπὶ δὲ τοῖσι μέλασι, μελαγχολίη· ἐπὶ δὲ τῷ φλέγματι, ἡ ἐπιληψίη. πασῶν γὰρ ἥδε νούσων τροπή. Περὶ ἐπιληψίης.

1.4.1 Ποικίλον ἠδὲ ἀλλόκοτον κακὸν ἡ ἐπιληψίη, θηριῶδες μὲν ἐν παροξυσμοῖσι καὶ κάτοξυ καὶ ὀλέθριον· ἔκτεινε γάρ κοτε παροξυσμὸς εἷς. ἢν δὲ μελέτῃσι φέρῃ ὤνθρωπος, ζῇ μὲν αἴσχεα καὶ ὀνείδεα καὶ ἄλγεα φέρων, ῥηϊδίως δὲ οὐκ ἄπεισι ἡ νοῦ- σος, ἀλλὰ ἐν ἡλικίῃσί τε τῇσι κρείττοσι ἐνοικέει καὶ ὥρῃ γε τῇ ὡραίῃ, ξυνδιαιτᾶταί τε παισὶ καὶ μειρακίοισι. ἐξηλάθη δέ κοτε ὑπ’ εὐτυχίης, δι’ ἄλλης ἡλικίης μέζονος, εὖτε τῷ κάλλει συνέξεισι τῆς ὥρης· ἀλλὰ καί κοτε μετεξετέρους αἰσχροὺς ἀποδείξασα ἀπόλλυσι τοὺς παῖδας φθόνῳ τοῦ κάλλεος, ἢ χειρὸς ἀκρασίῃ, ἢ προσώπου διαστροφῇ, ἢ πηρώσει τινὸς αἰσθήσιος.

1.4.2 ἢν δὲ φωλεύσῃ τὸ κακὸν ἐς ῥίζαν, οὔτε ἰητρῷ οὔτε ἡλικίης μεταβολῇ 〈ἐς〉 ἔξοδον πείθεται, ἀλλὰ ξυμβιοῖ μέσφι θανάτου. ποτὶ καὶ ἐπίπονος ἡ νοῦ- σος σπασμοῖσι καὶ διαστροφῇσι μελέων τε καὶ ὄψιος. ἔτρεψε δέ κοτε καὶ γνώμην ἐς μανίην. ἀτερπὴς μὲν ἡ τοῦ παροξυσμοῦ θέη, αἰσχρὴ δὲ καὶ ἡ ἀπόλειψις αὐτέου ἐπὶ ἀφόδῳ καὶ οὔροισι καὶ αὐτομάτῳ κοιλίῃ. ἀλλὰ καὶ ἄδοξος ἡ ξυμμορφή· δοκέει γὰρ τοῖσι ἐς τὴν σελήνην ἀλιτροῖσι ἀφικνεῖσθαι ἡ νοῦ- σος· τοὔνεκεν ἱερὴν κικλήσκουσι τὴν πάθην. ἀτὰρ καὶ δι’ ἄλλας προφάσιας, ἢ μέγεθος τοῦ κακοῦ· ἱερὸν γὰρ τὸ μέγα· 〈ἢ〉 ἰήσιος οὐκ ἀνθρωπηίης, ἀλλὰ θείης, ἢ δαίμονος δόξης ἐς τὸν ἄνθρωπον εἰσόδου, ἢ ξυμπάντων ὁμοῦ, τήνδε ἐκίκλησκον ἱερήν.

1.4.3 ὁκόσα μὲν ὦν ὡς ἐπὶ ὀξείῃ γίγνεται τῇ νούσῳ, πρόσθεν μοι λέλεκται· ἢν δὲ ἐν χρόνῳ μίμνῃ, οὐδὲ ἐπὶ τοῖσι διαλείμμασι ἀσινέες· νωθροί, ἄθυμοι, κατηφέες, ἐξάνθρωποι, ἄμεικτοι, οὐδὲ ἡλικίῃσι μειλίχιοι, ἄγρυπνοι, δυσόνειροι πολλοῖσι ἀλλοκότοισι, ἀπόσιτοι, πέψαι κακοί· ἄχροοι, μολυβδώδεες· δυσμαθέες νωθείῃ γνώμης τε καὶ αἰσθήσιος· βαρυήκοοι, ἦχοι, βόμβοι ἀνὰ τὴν κεφαλήν· γλῶσσα ἀσαφὴς καὶ παράφορος, ἢ ὑπὸ τῆς διαθέσιος τῆς νούσου, ἢ ὑπὸ τρωμάτων ἐν τῇσι καταλήψεσι· σπασμώδεες· γλῶσσα μὲν στρωφᾶται ἐν τῷ στόματι ποικίλως· ὑποτέμνεται δέ κοτε καὶ τὴν διάνοιαν ἡ νοῦ- σος, ὡς τὰ πάντα μωραίνειν. ἀτὰρ καὶ τοῖσδε αἰτίη ξὺν ὑγρότητι ψῦξις. Περὶ μελαγχολίης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.5.1 Μέλαινα χολή, ἐν μὲν ὀξέσι ἄνωθεν φανεῖσα, κάρτα ὀλέθριον· κάτω δὲ ἐξιοῦσα οὐ κάρτα ἀνώλεθρον. ἐν δὲ τοῖσι χρονίοισι, ἢν μὲν ὑπίῃ κάτω, ἐς δυσεντερίην καὶ ἥπατος πόνον τελευτᾷ. γυναιξὶ δὲ κάθαρσις ἀντὶ τῶν ἐπιμηνίων, ἢν τὰ ἄλλα ἀνώλεθροι ἔωσι. ἢν δὲ ἄνω ῥέπῃ ἐς στόμαχον, ἢ ἐς φρένας, μελαγχολίην τεύχει. φῦσάν τε γὰρ ἐμποιέει καὶ ἐρυγὰς κακώδεας, ἰχθυώδεας· διαπέμπει δὲ καὶ κάτω φύσας ψοφώδεας· ξυντρέπει δὲ καὶ τὴν γνώμην. διὰ τόδε καὶ μελαγχολικοὺς καὶ φυσώδεας τούσδε ἐκίκλησκον οἱ πρόσθεν.

1.5.2 μετεξετέροισι δὲ οὔτε φῦσα οὔτε μέλαινα χολὴ ἐγγίγνεται, ὀργὴ δὲ ἄκρητος καὶ λύπη καὶ κατηφείη δεινή. καὶ τούσδε ὦν μελαγχολικοὺς καλέομεν, χολῇ μὲν τῆς ὀργῆς ξυμφραζομένης, μελαίνῃ δὲ πολλῆς καὶ θηριώδεος. τέκμαρ δὲ Ὅμηρος, ἔνθα φησὶ τοῖσι δ᾽ ἀνέστη Ἥρως Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι Πίμπλαντ᾽, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. τοιοίδε γίγνονται οἱ μελαγχολώδεες, εὖτ᾽ ἂν ὑπὸ τοῦ κακοῦ κινέωνται.

1.5.3 ἔστι δὲ ἀθυμίη ἐπὶ μιῇ φαντασίῃ, ἄνευθε πυρετοῦ. δοκέει [τε] δέ μοι μανίης γε ἔμμεναι ἀρχὴ καὶ μέρος ἡ μελαγχολίη. τοῖσι μὲν γὰρ μαινομένοισι ἄλλοτε μὲν ἐς ὀργήν, ἄλλοτε δὲ ἐς θυμηδίην ἡ γνώμη τρέπεται, τοῖσι δὲ μελαγχολῶσι ἐς λύπην καὶ ἀθυμίην μοῦνον. ἀτὰρ καὶ μαίνονται μὲν ἐς τὰ πλεῖστα τοῦ βίου ἀφρονέοντες καὶ δεινὰ καὶ αἰσχρὰ πρήσσοντες· μελαγχολῶσι δὲ οὐκ ἐπὶ ἑνὶ εἴδεϊ ἕκαστοι, ἀλλ᾽ ἢ πρὸς φαρμακείην ὕποπτοι, ἢ ἐς ἐρημίην φεύγουσι μισανθρωπίῃ, ἢ ἐς δεισιδαιμονίην τρέπονται, ἢ μῖσός ἐστι τοῦ ζῆν τουτέοισι. ἢν δὲ ἐξ ἀθυμίης ἄλλοτε καὶ ἄλλοτε διάχυσις γένηται, ἡδονὴ προσγίγνεται ἐπὶ τοῖσι πλείστοισι· οἱ δὲ μαίνονται.

1.5.4 ὅκως δὲ καὶ ἀπ᾽ ὁκοίων χωρίων τὰ πολλὰ γίγνονται, φράσω. ἢν μὲν ἐν τοῖσι ὑποχονδρίοισι μίμνῃ ἡ αἰτίη, ἀμφὶ τὰς φρένας εἱλέεται, καὶ διεξίει χολὴ ἄνωθεν ἢ κάτωθεν μελαγχολῶσι. ἢν δὲ καὶ κεφαλὴν ἐς ξυμπαθείην ἄγῃ καὶ ἀμείβηται τὸ παράλογον τῆς ὀξυθυμίης ἐς γέλωτα καὶ ἡδονὴν ἐς τὰ πολλὰ τοῦ βίου, οἱ δὲ μαίνονται, αὔξῃ τῆς νούσου μᾶλλον ἢ ἄλγεϊ πάθεος. ἐπ᾽ ἀμφοῖν δὲ ξηρότης αἰτίη.

1.5.5 ἄνδρες μὲν ὦν μαίνονται καὶ μελαγχολῶσι, ἢ καὶ ἀνδρῶν ἐλάσσους· κάκιον δὲ ἀνδρῶν αἱ γυναῖκες ἐκμαίνονται. ἡλικίη, πρὸς ἀκμὴν καὶ οἱ ἀκμάζοντες· ὥρη, θέρος μὲν καὶ φθινόπωρον τίκτει, ἔαρ δὲ κρίνει. τεκμήρια μὲν ὦν οὐκ ἄσημα· ἢ γὰρ ἥσυχοι, ἢ στυγνοί, κατηφέες, νωθροὶ ἔασι ἀλόγως, οὔτινι ἐπ᾽ αἰτίῃ [μελαγχολίης ἀρχή]· ἔτι δὲ καὶ ὀργίλοι προσγίγνονται, δύσθυμοι, ἄγρυπνοι, ἐκ τῶν ὕπνων ἐκθορυβούμενοι.

1.5.6 ἔχει δὲ αὐτέους καὶ τάρβος ἔκτοπον, ἢν ἐς αὔξησιν τὸ νόσημα φοιτῇ, εὖτε καὶ ὄνειροι ἀληθέες, δειματώδεες, ἐναργέες· ὁκόσα γὰρ ὑπερεκτρέπονται †οὔπω οἱ κακοῦ, τόδε ἐνύπνιον ὁρέουσι ὥρμησε. πρὸς τὸ ῥηΐδιον μεταγνῶναι εὔκολοι, αἰσχροί, σμικρολόγοι, ἄδωροι, καὶ μετ᾽ οὐ πολὺ ἁπλοῖ, ἄσωτοι, πολύδωροι, οὐκ ἀρετῇ ψυχῆς, ἀλλὰ ποικιλίῃ νοσήματος. ἢν δὲ ἐπὶ μᾶλλον τὸ κακὸν πιέζῃ, μῖσος, φυγανθρωπίη, ὀλοφύρσιες κενεαί· ζωῆς κακήγοροι, ἔρανται δὲ θανάτου. πολλοῖσι δὲ ἐς ἀναισθησίην καὶ μώρωσιν ἡ γνώμη ῥέπει, ὅκως ἀγνῶτες ἁπάντων ἢ ἐπιλήσμονες ἑωυτέων βίον ζώωσι ζώδεα.

1.5.7 ξυντρέπεται δὲ καὶ τοῦ σκήνεος ἐς πονηρὸν ἡ ἕξις· χροιὴ μελάγχλωρος, ἢν μὴ διεξίῃ κάτω ἡ χολή, ἀλλὰ ἀναχέηται ξὺν τῷ αἵματι ἐς τὸ πᾶν. βοροὶ μέν, ἰσχνοὶ δέ· ὕπνος γὰρ αὐτέοισι οὔτε πόσει οὔτε βρωτῷ ξυγκρατέει τὰ μέλεα, ἀγρυπνίη δὲ σκίδνησι ἐς τὴν ἔξω φορήν. τοιγαροῦν κοιλίη ξηρὴ οὐδὲν διιεῖσα· ἢν δέ κοτε ἐκδιδῷ, ξηρά, στρογγύλα, ξὺν περιρρόῳ μέλανι, χολώδεα. οὖρα σμικρά, δριμέα, χολόβαφα· φυσώδεες καθ᾽ ὑποχόνδριον· ἐρυγαὶ κακώδεες, βρωμώδεες, ὡς ἐξ ἁλὸς ὀρεγμίη· ἀνέπλω κοτὲ καὶ ὑγρὸν δριμὺ ξὺν χολῇ. σφυγμοὶ ὡς ἐπίπαν σμικροί, νωθροί, ἀδρανέες, πυκινοί, ἴκελοι τῷ ψύχεϊ.

1.5.8 λόγος ὅτι τῶν τοιῶνδέ τις ἀνηκέστως ἔχων, κούρης ἤρα τε καὶ τῶν ἰητρῶν οὐδὲν ὠφελούντων ὁ ἔρως μιν ἰήσατο· δοκέω δὲ ἔγωγε ἐρᾶν μὲν αὐτὸν ἀρχῆθεν, κατηφέα δὲ καὶ δύσθυμον [ἢ] ὑπ' ἀτυχίης τῆς κούρης ἔμμεναι καὶ μελαγχολικὸν δοκέειν τοῖσι δημότῃσιν. οὗτος οὔτε μὴν ἦν ἔρωτα ἐγγιγνώσκων, ἐπεὶ δὲ τὸν ἔρωτα ξυνῆψε τῇ κούρῃ, παύεται τῆς κατηφείης, καὶ διασκίδνησι ὀργήν τε καὶ λύπην, χάρμῃ δὲ ἐξένηψε τῆς δυσθυμίης· καθίσταται γὰρ τὴν γνώμην ἔρωτι ἰητρῷ. Περὶ μανίης.

1.6.1 Μανίης τρόποι εἴδεσι μὲν μυρίοι, γένει δὲ μοῦνος εἷς. ἔκστασις γάρ ἐστι τὸ ξύμπαν χρόνιος, ἄνευθε πυρετοῦ. εἰ γάρ κοτε καὶ πυρετὸς ἐπιλάβοι, οὐκ ἀπὸ μανίης ἂν ἴδιος γίγνοιτο, ἀλλ' ἐκ ξυντυχίης ἄλλης. ἐκφλέγει γὰρ καὶ οἶνος ἐς παραφορὴν ἐν μέθῃ· ἐκμαίνει δὲ καὶ τῶν ἐδεστῶν μετεξέτερα, ἢ μανδραγόρη, ἢ ὑοσκύαμος, ἀλλ' οὔ τί κω μανίη τάδε κικλήσκεται· ἐπὶ γὰρ σχεδίου γιγνόμενα καθίσταται θᾶττον.

1.6.2 τὸ δὲ ἔμπεδον ἡ μανίη ἴσχει. τῇδε τῇ μανίῃ οὐδέ τι ἴκελον ἡ λήρησις, γήραος ἡ ξυμφορή· αἰσθήσιος γάρ ἐστι νάρκη καὶ γνώμης νάρκωσις ἥδε τοῦ νοῦ ὑπὸ ψύξιος· μανίη δὲ θερμόν τι καὶ ξηρὸν τῇ αἰτίῃ, καὶ ταραχῶδες τῇσι πρήξεσι. ἡ μὲν γὰρ λήρησις ἀρχομένη ἀπὸ γήραος οὔτε διαλείπει, καὶ ξυναποθνῄσκει· μανίη δὲ καὶ διαλείπει καὶ μελεδῶνι ἐς τέλος ἀποπαύεται. διάλειψις δὲ ἀτελής, ἢν τῷ τῆς μανίης λόγῳ γίγνηται, οὐκ εἰκότως ἀκεομένου τοῦ κακοῦ ἰητρείῃ, ἢ τῆς ὥρης εὐκρασίῃ· μετεξετέρους γὰρ δοκέοντας ἀσινέας ἔμμεναι, ἢ ὥρη τὸ ἔαρ, ἢ ἁμαρτωλὴ διαίτης, ἢ ὀργὴ ἐκ ξυντυχίης ἐς ἀνάκλησιν ἤγαγε.

1.6.3 καὶ γὰρ δὴ νοσέουσι οἱ φύσει ὀργίλοι, ὀξύθυμοι, ῥέκται, εὐμαρέες, ἱλαροί, παιδιώδεες· ἀτὰρ καὶ οἷσι ἐς ἐναντίην ἰδέην ἡ φύσις ῥέπει, ὁκόσοι νωθροί, ἐπίλυποι, βραδεῖς μὲν ἐκμαθεῖν, ἐπίμονοι δὲ προσκαμεῖν, ποτὶ καὶ μαθόντες ἀμνήμονες. οἵδε καὶ μελαγχολῆσαι ἑτοιμότεροι· οἱ δὲ καὶ πρόσθεν ἐκμαίνονται, ἀτὰρ καὶ ἡλικίης οἷσι τὸ θερμὸν καὶ αἷμα πουλύ, οἵδε μαίνονται, τοῖσι ἀμφὶ ἥβην καὶ νέοισι καὶ οἷσι πάντων ἡ ἀκμή· ὁκόσοισι δὲ τὸ θερμὸν ἐκ μελαίνης χολῆς ἐξάπτεται, τό τε εἶδος ἐς ξηρὸν τρέπεται, τουτέοισι μελαγχολῆσαι ῥήϊστον. δίαιτα δὲ ἄγει πουλυφαγίη, πλησμονὴ ἄμετρος, μέθη, λαγνείη, ἔρωτες ἀφροδισίων· ἐμάνησάν κοτε καὶ γυναῖκες ὑπὸ ἀκαθαρσίης τοῦ σκήνεος, εὖτε αὐτέῃσι ἀπηνδρώθησαν αἱ μῆτραι.

1.6.4 ἀλλ' αἵδε οὐ μάλα [δὲ] ῥηϊδίως ἐκμαίνονται, μάλα δὲ χαλεπῶς ἐκμαίνονται. αἵδε αἱ προφάσιες· καὶ γὰρ ἄνδρα ἐξάπτουσι, ἢν ξυνήθη αἵματος ἔκκρισιν ἢ χολῆς ἢ ἱδρῶτος ἐπίσχῃ τις αἰτίη. καὶ οἷσι μὲν ἡδονὴ ᾖ ἡ μανίη, γελῶσι, παίζουσι, ὀρχῶνται νυκτὸς καὶ ἡμέρης, καὶ ἐς ἀγορὴν ἀμφαδόν, καὶ ἐστεμμένοι κοτὲ ὅκως ἐξ ἀγωνίης νικηφόροι ἔασιν· ἄλυπος τοῖσι πέλας ἡ ἰδέη.

1.6.5 μετεξέτεροι δὲ ὑπὸ ὀργῆς ἐκμαίνονται. ἔσθ' ὅτε καὶ ἐσθῆτάς τε ἐρρήξαντο, καὶ θεράποντας ἀπέκτειναν, καὶ ἑωυτέοισι χεῖρας ἐπήνεγκαν· ἥδε καὶ τοῖς πέλας οὐκ ἀκίνδυνος ἡ ξυμφορή. ἰδέαι δὲ μυρίαι. τοῖσι μέν γε εὐφυέσι τε καὶ εὐμαθέσι ἀστρονομίη ἀδίδακτος, φιλοσοφίη αὐτομάτη, ποίησις δῆθεν ἀπὸ μουσέων. ἴσχει γάρ τι καὶ ἐν νούσοισι εὔχρηστον ἡ εὐπαιδευσίη. τοῖσι δὲ ἀπαιδεύτοισι ἀχθοφορίη, πηλοεργίη· τέκτονες, ἢ λιθοξόοι. γίγνονται δὲ καὶ ἀλλόκοτοι φαντασίαι. ἐδεδίει γάρ τις ληκύθων ἔκπτωσιν, καὶ ἄλλος οὐκ ἔπινε, δοκέων ἑωυτὸν πλίνθον ἔμμεναι, ὡς μὴ τῷ ὑγρῷ λυθείη.

1.6.6 μυθολογέεται δὲ καὶ τόδε· τέκτων ἤδη ἐπὶ οἴκου μὲν σαόφρων ἐργάτης ἦν, μετρῆσαι ξύλον, κόψαι, ξῦσαι, ξυγγομφῶσαι, ἁρμόσαι, ξυντελέσαι δόμον νηφαλέως, τοῖσι ἐργοδοτέῃσι ὁμιλῆσαι, ξυμβῆναι, ἀμεῖψαι τὰ ἔργα μισθοῦ δικαίου. ὅδε ἐπὶ μὲν τοῦ χωρίου τοῦ ἔργου ὧδε εἶχε γνώμης· ἢν δὲ ἐξίῃ κοτὲ ἐς ἀγορὴν 〈ἢ〉 ἐπὶ λουτρόν, ἤ τινα ἑτέρην ἀνάγκην, τιθεὶς τὰ ὅπλα πρῶτον ἔστενε, εἶτα ἐπῆγε ὤμῳ ἐξιών· ἐπὴν δὲ ἀπῆλθε τῆς τε τῶν οἰκετῶν θέης καὶ τῆς τοῦ ἔργου πρήξιος καὶ τοῦ χωρίου, πάμπαν ἐξεμαίνετο· κὴν παλινδρομήσῃ, ταχὺ αὖθις ἐσωφρόνεε. καὶ ἥδε τοῦ χωρίου καὶ τῆς γνώμης ἡ ξυμβολή.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.6.7 ἴσχουσι δὲ τὴν αἰτίην τοῦ νοσήματος κεφαλὴ καὶ ὑποχόνδρια, ἄλλοτε μὲν ἅμα ἄμφω ἀρξάμενα, ἄλλοτε δὲ ἀλλήλοισι ξυντιμωροῦντα· τὸ δὲ κῦρος ἐν τοῖσι σπλάγχνοισί ἐστι ἐπὶ μανίῃ καὶ μελαγχολίῃ, ὅκωσπερ ἐν τῇ κεφαλῇ καὶ τῇσι αἰσθήσεσι τὰ πολλὰ τοῖσι φρενιτικοῖσι. οἵδε μὲν γὰρ παραισθάνονται καὶ τὰ μὴ παρεόντα ὁρέουσι δῆθεν ὡς παρεόντα, καὶ τὰ μὴ φαινόμενα ἄλλῳ κατ’ ὄψιν ἰνδάλλεται· οἱ δὲ μαινόμενοι ὁρέουσι μὲν ὡς χρὴ ὁρῆν, οὐ γιγνώσκουσι δὲ περὶ αὐτέων ὡς χρὴ γιγνώσκειν.

1.6.8 ἢν ὦν μέγα ᾖ τὸ κακόν, εὐκίνητοι, ὀξέες τὴν αἴσθησιν, ὕποπτοι, ὀργίλοι οὐκ ἐπ’ αἰτίῃ τινί, δύσθυμοι μὲν ἀλόγως, οἷσι ἐς σκυθρωπὸν ἡ μανίη τρέπεται· οἷσι δὲ ἐς θυμηδίην, εὔθυμοι· ἄλλοι δὲ παραλόγως ἄγρυπνοι. ἄμφω ἀλλοιώδεες τὰς ὄψιας, κεφαλαλγέες, ἢ πάντως γε βάρος τῆς κεφαλῆς ξύνεστι· εὐήκοοι δέ, ἀλλὰ βράδιστοι τὴν γνώμην. ἐπ’ ἐνίοισι γὰρ ἔασι ἰδίῃ ἦχοι ὤτων καὶ βόμβοι, μέχρι δή γε σαλπίγγων τε καὶ αὐλῶν.

1.6.9 ἢν ἐς αὔξησιν ἡ νοῦ- σος γίγνηται, φυσώδεες, ἀσώδεες, βοροὶ καὶ λάβροι ἐν τῇ ἐδωδῇ. ἀγρυπνέουσι γάρ· ἀγρυπνίη δὲ βορόν. ἀτὰρ οὐδὲ ἰσχνοὶ ὡς νοσέοντες (μελαγχολώντων μᾶλλον εὐσαρκίη) καὶ ὕπωχροι. ἢν δέ τι τῶν σπλάγχνων ἐν φλεγμασίῃ ᾖ γεγονός, τὴν ὄρεξιν ἢ τὴν θρέψιν ἀμβλύνει. ὀφθαλμοὶ κοῖλοι, οὐ σκαρδαμύττοντες· πρὸ τῶν ὀφθαλμῶν ἰνδάλματα κυάνεα ἢ μέλανα, οἷσιν ἐς μελαγχολίην ἡ τροπή· ἐρυθρότερα δὲ 〈οἷσιν〉 ἐς μανίην, καὶ φοινίκεα φαντάσματα, πολλοῖσι μὲν ὡς ἀπαστράπτοντος πυρός, καὶ τάρβος αὐτέους ὡς ἀπὸ σκηπτοῦ λαμβάνει· μετεξετέροισι δὲ καὶ ἐνέρυθροι καὶ ὕφαιμοι 〈οἱ〉 ὀφθαλμοί.

1.6.10 ἐπὶ κορυφῆς δὲ τοῦ κακοῦ ὀνειρώττουσι· ἀφροδισίων δὲ ἄσχετος ἐπιθυμίη, ἀτὰρ οὐδὲ ἐς τὸ ἀμφαδὸν αἰδὼς ἢ ὄκνος ὁμιλίης· νουθεσίῃ δὲ καὶ ἐπιπλήξει ἐς ὀργὴν ἐκριπισθέντες ἐς τὸ πᾶν ἐκμαίνονται. τοὐντεῦθεν ἄλλος ἄλλῃ μαίνεται· οἱ μὲν θέουσι ἀσχέτως, οὔτε ὅπως εἰδότες ἐς ταὐτὰ παλινδρομέουσι· οἱ δὲ ἐς δηρὸν τοῖσι πέλας ἀφικνέονται· ἄλλοι δ’ αὖ βοῶσι ὀλοφυρόμενοι ἁρπαγὴν ἢ βίην. οἱ δὲ φυγανθρωπεύουσι ἐς ἐρημίην, σφίσι αὐτέοισι ὁμιλέοντες.

1.6.11 ἢν δὲ ἐπ’ ἄνεσιν ἥκοιεν τοῦ κακοῦ, νωθροί, ἥσυχοι, ἐπίλυποι· ἐς ἐπιστασίην γὰρ τῆς νούσου ἀφικνεόμενοι ἄχθονται τῇ ξυμφορῇ. Μανίης εἶδος ἕτερο ν . Τέμνονταί τινες τὰ μέλεα, θεοῖς ἰδίοις ὡς ἀπαιτοῦσι χαριζόμενοι εὐσεβεῖ φαντασίῃ· καὶ ἔστι τῆς ὑπολήψιος ἡ μανίη μοῦνον, τὰ δ’ ἄλλα σωφρονέουσι. ἐγείρονται δὲ αὐλῷ καὶ θυμηδίῃ, ἢ μέθῃ, 〈ἢ〉 τῶν παρεόντων προτροπῇ. ἔνθεος ἥδε ἡ μανίη. κἢν ἀπομανῶσι, εὔθυμοι, ἀκηδέες, ὡς τελεσθέντες τῷ θεῷ· ἄχροοι δὲ καὶ ἰσχνοὶ καὶ ἐς μακρὸν ἀσθενέες πόνοισι τῶν τρωμάτων. Περὶ παραλύσεως.

1.7.1 Ἀποπληξίη, παραπληγίη, πάρεσις, παράλυσις, ἅπαντα τῷ γένεϊ τωὐτά. ἢ γὰρ κινήσιος, ἢ ἁφῆς, ἢ ἀμφοῖν ἐστι ἔκλειψις, κοτὲ καὶ γνώμης, κοτὲ καὶ τῆς ἄλλης αἰσθήσιος. ἀλλ’ ἀποπληξίη μὲν ὅλου τοῦ σκήνεος καὶ τῆς αἰσθήσιός τε καὶ γνώμης, καὶ κινήσιός ἐστι παράλυσις. τοιγαροῦν ἀποπληξίην λῦσαι ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενῆ δὲ οὐ ῥηΐδιον. παραπληγίη δὲ πάρεσις μὲν ἁφῆς καὶ κινήσιος, ἀλλὰ μέρεος, ἢ χειρός, ἢ σκέλεος.

1.7.2 παράλυσις δὲ ὡς ἐπίπαν κινήσιος μοῦνον, ἐνεργείης τε πάρεσις. ἢν δὲ ἁφὴ ἐκλείπῃ μούνη κοτέ (σπάνιον δὲ τὸ τοιόνδε), ἀναισθησίη μᾶλλον ἢ πάρεσις κικλήσκεται. ἢν δὲ ἀπόπληκτον ὁ Ἱπποκράτης εἴπῃ σκέλος τὸ κατ’ ἴξιν, ὡς νεκρῶδες, τὸ ἀχρεῖον καὶ τὸ ἀναλδὲς θέλει φράσαι· ὃ γὰρ ἐπὶ τῷ ξύμπαντι ἀποπληξίη ἐστὶ ἰσχυρή, τόδε ἐν τῷ σκέλεϊ παραπληγίην φράζει. κύστιος δὲ οὔρων σχέσιος ἢ ἀκρασίης, πάρεσις τὸ κύριον. βλεφάρων δὲ καὶ μήλων, καὶ μυῶν τῶν ἐν γνάθοις, καὶ γένυος ἐπὶ θάτερα παραγωγή, ἢν ἐπὶ σπασμῷ διαστρέφηται, κυνικὸς σπασμὸς ἡ κλῆσις. ἔκλυσιν δὲ γουνάτων καὶ αἰσθήσιος πρόσκαιρον νάρκην καὶ ἀψυχίην καὶ κατάπτωσιν λιποθυμίην καλέομεν.

1.7.3 παρίεται ὦν ἄλλοτε μὲν μέρεα καθ’ ἕν, ὀφρὺς μούνη, ἢ δάκτυλος, ἢ ἔτι μέζω, χείρ, σκέλος, ἄλλοτε δὲ ὁμοῦ πλεῦνα· καί κοτε δεξιὰ μοῦνον ἢ ἀριστερά, ἢ ἰδίῃ καὶ ἰδίῃ, 〈ἢ〉 ξύμπαντα· ἐπ’

ἀκριβὲς ἢ ἧσσον. οὐ τὰ διεστῶτα μοῦνον καὶ ὁμώνυμα καὶ ὁμόζυγα, ὀφθαλμοί, χεῖρες, σκέλος, ἀλλὰ καὶ τὰ ξυμφυέα, ῥὶς ἐς τὸ ἴσον, καὶ γλῶσσα μέσφι τῶν ὁρίων τοῦ μέσου, καὶ παρίσθμιον ἕν, καὶ ἰσθμός, καὶ κατάποσις ἐς ἥμισυ. δοκέω δὲ ἐγώ κοτε καὶ στόμαχον, καὶ τὰ ἔντερα, καὶ κύστιν, καὶ τὸ παράμηκες ἔντερον ἄχρι τοῦ ἀρχοῦ τωὐτὸ πεπονθέναι. ἀλλὰ τὰ μὲν μέλεα τὰ ἐντὸς ἐκλυόμενα κρυπτὰ καὶ ἀφανέα.

1.7.4 ἡμιτελέες δὲ καὶ αἱ ἐνέργειαι. τῇδέ μοι δοκέει καὶ ἡμιπαθέα ἔμμεναι τὰ μέρεα διχῇ ὑπὸ τῆς νούσου τετμημένα. τόδε μέντοι τὸ πρῆγμα δίδαγμα διαφορῆς δυνάμιός τε καὶ κρίσιος πρὸς ἀριστερὰ δεξιοῖσι. ἴση μὲν γὰρ καὶ ἡ προσίζουσα αἰτίη, ξυναὶ δὲ ἀμφοῖν τοῦ πάθεος αἱ προφάσιες, ἤν τε ψῦξις, ἤν τε ἀπεψίη· ἀλλὰ ἄμφω παθεῖν οὐκ ἴσα ἄν. ἰσόρροπος δὲ ἡ φύσις, ὡς ἐν ἰσορρόπῳ, τωὐτὸν δὲ ἐν ἀνίσοισι ἀδύνατον. ἢν μὲν ὦν τῆς κεφαλῆς κάτω πάθῃ τις ἀρχή, ὁκοῖόν τι τοῦ νωτιαίου μυελοῦ ἡ μῆνιγξ, τὰ ὁμώνυμα καὶ ξυναφέα παραλύεται, δεξιὰ ἐπὶ δεξιοῖσι, καὶ ἐπ' ἀριστεροῖσι λαιά.

1.7.5 ἢν δὲ κατάρχῃ κεφαλή, ἐπὶ μὲν τοῖσι δεξιοῖσι τὰ λαιὰ παραλύεται, δεξιὰ δὲ ἐπ' ἀριστεροῖσι. αἰτίη δὲ τῶν ἀρχέων τῶν νεύρων ἡ ἐπαλλαγή· οὐ γὰρ κατ' ἴξιν τὰ δεξιὰ ἐπὶ δεξιὰ ὁδοιπορέει μέσφι περάτων γε, ἀλλ' ἔμφυτα τῇ ἀρχῇ ἕκαστα εὐθὺς ἐπ' ἐκεῖνα φοιτῇ, ἀλλήλοισι ἐπαλλαξάμενα ἐς χιασμὸν σχήματος. ἀθρόον δὲ εἰρῆσθαι, εἴτε ξύμπαντα ὁμοῦ, εἴτε μέρεα παρίεται, ἢ ξυναμφοτέρων, νεῦρα δὲ ἄλλοτε μὲν τὰ ἀπὸ κεφαλῆς πάσχει. τάδε μέντοι ἐς ἀναισθησίην τρέπονται, ὡς ἔπος εἰπεῖν· οὐ κάρτα ῥηϊδίως ἐς ἀκινησίην ἐξ ὡὐτέων ῥέπει τάδε. κἢν μὲν τοῖσι κινευμένοισι ξυμπαθήσῃ, πάσχει καὶ τάδε σμικρὴν ἀκινησίην· ἴσχει γὰρ καὶ τὴν κίνησιν ἐξ ὡὐτέων, εἰ καὶ ἐπὶ ἧσσον φύσει.

1.7.6 ἄλλοτε δὲ τὰ ἀπὸ μυῶν ἐς μύας περαιούμενα· τάδε 〈δὲ〉 τὸ κῦρος τῆς κινήσιος ἴσχει, καὶ τοῖσι ἀπὸ τῆς κεφαλῆς προσδιδοῖ· καὶ γὰρ αὐτὰ ἀπ' ἐκείνων τὸ πλεῖστον τῆς κινήσιος ἴσχει, ἴσχει δὲ καὶ ἐξ ἑωυτέων καὶ ἔλασσον· τάδε μέντοι ἀκινησίην πάσχει μᾶλλον· σπάνιον δὲ εἴ κοτε ἐξ ἑωυτέων ἐς ἀναισθησίην τρέπονται, δοκεῖ καὶ μὴ ἐς τὸ πάμπαν. ἢν δὲ ξύνδεσμός τις νεύρων λυθῇ τῶν ἐξ ὀστέων πεφυκότων τινός, καὶ κραινόντων ἐς ὀστέα, ἢ ῥαγέντος, ἀκρατέα τὰ μέλεα καὶ ἐπισυρόμενα, οὐκ ἀναίσθητα, γίγνεται.

1.7.7 εἴδεα δὲ παραπληκτικὰ τάδε. ἄλλοτε μὲν ἐς ἔκτασιν λέλυται τὰ μέλεα, οὐδὲ παλινδρομέει ἐς κάμψιν, εὖτε μήκιστα κῶλα φαίνεται. ἄλλοτε δὲ κυλλὰ γίγνεται, οὐδὲ ἐς μῆκος ἀποτείνεται· εἰ δὲ ἐκτανύσαι βιᾶται, ὅκως ξύλα ἱκανὰ καταξέων, τὰ μέλεα, βραχύτερα ἑωυτέων γίγνεται. τάδε πάσχει ἄμφω τὰ εἴδεα καὶ ἡ ἐν τοῖσι ὀφθαλμοῖσι παρθένος. καὶ γὰρ ἐκχέεται πολλὸν ἐς μέγεθος, εὖτε πλατυκορίην ἠδὲ μυδρίησιν ὀνομάζομεν· ἀτὰρ ἠδὲ ξυνάγεται ἐς σμικρὸν ἡ κούρη, εὖτε φθίσιν [ἣν] ἐγὼ κικλήσκω. ἀλλὰ καὶ κύστις παρίεται ἐπὶ τοῖσι ἰδίοισι ἔργοισι. ἢ γὰρ ἐς ἔκτασιν λύεται, ἢ ἀκρατὶ τὰ οὖρα ἐκχέει, ἢ ξυνειλέεται ἐς ἑωυτέην, εὖτε, ὅταν πλησθῇ οὔρου, οὐ διίησιν.

1.7.8 αἰτίαι δὲ παρέσιος μὲν ἔξ· ἄρχονται δὲ τρώματι, πληγῇ, ψύξει, ἀπεψίῃ, λαγνείῃ, οἰνοφλυγίῃ. ἀτὰρ καὶ ψυχῆς ἀκρατέα πάθεα, ἐκπλήξιες, φόβοι, δυσθυμίαι· ἀτὰρ καὶ παιδίοισι δείματα· παρέλυσέ κοτε καὶ χάρμα ἀδόκητον καὶ μέγα, καὶ γέλως ἄσβεστος μέχρι θανάτου. ἀλλὰ τάδε μὲν ἀρχὴ πρώτη, ὑστάτη δὲ καὶ καιρίη ψῦξις ἐμφύτου θερμοῦ ἐπὶ ὑγρότητι ἢ ξηρότητι· [πάσχει] ἥδε καὶ δυσαλθὴς τῆς ἑτέρης [πάσχει] μᾶλλον· ἀτὰρ καὶ ἐπὶ τρώματι καὶ διακοπῇ νεύρου ἀναλθής. ἡλικίη, γέροντες, καὶ οἵδε δυσαλθέες· παιδίοισι δὲ εὐανάκλητοι· ὥρη χειμών, ἔαρ δεύτερον, ἔπειτα μετόπωρον, θέρος ἥκιστα. ἕξεις, οἱ παχέες κατὰ φύσιν, ὑγροί, ἀργοί, ζωώδεες.

1.7.9 τελεσθέντα μὲν ὦν τὰ πάθεα ἔκδηλα ἀκινησίῃ καὶ ἀναισθησίῃ θερμοῦ τε καὶ ψυχροῦ, ἀτὰρ καὶ τιλμῶν καὶ κνησμῶν καὶ ψαυσίων. σπάνιον εὖτε τισὶ [τὰ] πέρατα ἀλγέει, ἀλλὰ ἐς ἀνάκλησιν οὐ κακίων ἡ ἀπονίη. γίγνεται μὲν ὦν ἐξαπίνης· ἢν δέ κοτε καὶ ἀρχὰς ἴσχῃ ἐπιμήκεας, βάρος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυσκινησίη, νάρκη· ψύξιος αἴσθησις, ἄλλοτε θάλπεος ὑπερβολή. ὕπνοι σμικροί, φαντασίαι μέζονες, εὖτε ἀθρόον παρελύθησαν.

1.7.10 ἐπὶ δὲ κυνικῷ σπασμῷ ἅπαντα μὲν τὰ τοῦ προσώπου μέρεα σπᾶσθαι οὐ κάρτα ξύνηθες. ἐπὶ δεξιὰ 〈δὲ〉 τὰ ἀριστερά, καὶ ἐς ἀριστερὰ τὰ δεξιὰ φοιτῇ, εὖτε καὶ τῆς γένυος ἔνθα ἢ ἔνθα ἐπὶ πολλὸν ἡ παραγωγή, ὅκως ἐξ ἕδρης κινουμένης τῆς γνάθου. καὶ γὰρ καί τισί κοτε ἐξέβη τὸ ἄρθρον, εὖτε μέγα χανόντων ἐπὶ τὸ ἕτερον ἡ γένυς παρήχθη. ἴλλωσις τοῦ ὀφθαλμοῦ τοῦ σιναροῦ μήλου, ξὺν τῇ ὑποκοιλίδι παλμός· πάλλεται δὲ καὶ τὸ ἄνω βλέφαρον, ἄλλοτε μὲν ξὺν τῷ ὀφθαλμῷ, ἄλλοτε δὲ μοῦνον. ξυντείνεται δὲ καὶ τὰ χείλεα ἰδίῃ ἑκάτερον, ἄλλοτε δὲ ἄμφω ξυμπεσόντα παφλάζει· ἔστι δὲ οἷσι μέμυκε κάρτα, ἀθρόον δὲ διΐσταται καὶ τὸν ξυνήθεα πτυσμὸν ψοφέει.

1.7.11 σπᾶται καὶ γλῶσσα· καὶ γὰρ ἥδε μῦς ἐστι καὶ νεῦρα· εὖτε πρὸς τὸν οὐρανὸν ἐς πλάτος ὅλη ἡ ξύμφυσις ἀθρόον ἀφήλατο, καὶ κλόνου πάταγον ἐποίησε. σπᾶται δὲ καὶ κίων, καὶ εἰ μὲν τὸ στόμα ξυνάγει τὰ ἔνδοθεν, ἀδόκητος ὁ πάταγος· εἰ δὲ διαστήσει τὸ στόμα, ὄψεαι τὴν κιονίδα, ἄλλοτε μὲν προσφυομένην ἐς πλάτος τῷ οὐρανῷ, ἄλλοτε δὲ ἀποπαλλομένην βίῃ ὠκέως σωλῆνι ὁμοίως, εὖτε καὶ ἥδε παταγεῖ.

1.7.12 ἀπάτη δέ τοι ξύνεστι τοῖσι κυνικοῖσι σπασμοῖσι· δοκέει γὰρ τοῖσι θεωμένοισι τὰ ἀπαθέα τὴν νοῦσον ἴσχειν. τῇ γὰρ περιτάσει καὶ τῇ χροιῇ καὶ τῷ τοῦ ὀφθαλμοῦ μέζονι ὑγιέα τὰ σιναρὰ φαίνεται· ἐλέγχεται δὲ καὶ ἐν γέλωτι καὶ λαλιῇ καὶ καταμύσει. τὰ μέν γε σιναρὰ σπᾶται πάντα πατάγῳ, χεῖλος ἀμειδές, ἀκίνητον, ἢν λαλῇ· βλέφαρον οὐκ ἐπίτροχον· ὀφθαλμὸς ἀτενής· ἀναίσθητος ἡ ἀφή. τὰ δὲ ὑγιέα λαλεῖ, καταμύει, αἰσθάνεται, γελᾷ. Περὶ φθίσιος.

1.8.1 Ἢν ἕλκος ἐξ ἀποστάσιος ἐν τῷ πνεύμονι γένηται, ἢ ἐκ βηχὸς χρονίης, ἢ ἀναγωγῆς αἵματος, καὶ ἀναβήσσῃ πῦον, φθόη καὶ φθίσις κικλήσκεται· ἢν δὲ θώρηξ ἢ πλευρὸν ἐμπυήσῃ, ἐπανάγηται δὲ διὰ τοῦ πνεύμονος, ἔμπυοι οἵδε τοὔνομα· ἢν δὲ ἐπὶ τοῖσι καὶ ὁ πνεύμων ἕλκος ἴσχῃ, ἀναβρωθεὶς ὑπὸ τοῦ διενεχθέντος πύου, τοὔνομα οὐκέτι ἔμπυοι, ἀλλὰ φθόην μεταλαμβάνει.

1.8.2 ξύνεστι δὲ καὶ πῦρ ξυνεχές, ὥς μοι δοκέειν, λῆγον μὲν οὔκοτε, λῆθον δὲ δι’ ἡμέρης ἱδρῶτι καὶ ψύξει τοῦ σκήνεος. καὶ γὰρ καὶ τὰ ἴδια φθόης ἐστί, ἢν ἡ θέρμη ζωπυρῇ καὶ ἐς νύκτα ἐκλάμπῃ, ἡμέρην δὲ αὖθις ἐν τοῖσι σπλάγχνοισι φωλεύῃ· δήλη δὲ ἡ δυσφορίη, καὶ ἡ ἀδυναμίη, καὶ αἱ ξυντήξιες. εἰ γὰρ ἀπεδίδρησκε τοῦ σκήνεος δι’ ἡμέρης τὸ πῦρ, πῶς οὐκ ἂν ἐσαρκοῦτό τε καὶ ἠδύνατο, καὶ εὐφόρως εἶχεν ὤνθρωπος; εὖτε γὰρ ἀνάγει, ἐπὶ μᾶλλον τὰ δεινὰ αὔξεται. σφυγμοὶ σμικροὶ καὶ ἀμυδροί, ἀγρυπνίη, ἄχροια, καὶ τἆλλα πάντα ὁκόσα οἱ πυρεταίνοντες.

1.8.3 ἰδέαι δὲ ὑγρῶν μυρίαι, πελιδνῶν, μελάνων κατακορέως, ἢ ὠχρολεύκων, ἢ λευκοχλώρων· πλατέων, στρογγύλων· σκληρῶν, δυσλύτων, ἢ μανῶν, λυομένων· ἢ ἀνόσμων, ἢ κακωδέων· ἅπαντα δὲ τάδε πύου ἔασι ἰδέαι. ὁκόσοι γὰρ ἢ πυρὶ ἢ ὕδατι τὰ ὑγρὰ τεκμαίρονται, οὐ κάρτα μοι δοκέουσι φθόην οἵδε γιγνώσκειν· πιστοτέρη γὰρ ἡ ὄψις ἁπάσης ἄλλης αἰσθήσιος, οὐ τῶν ἀναγομένων μοῦνον, ἀλλὰ καὶ τοῦ εἴδεος τοῦ νοσέοντος· ἢν γὰρ καὶ δημότης ἴδῃ τὸν ἄνθρωπον ὠχρόν, ἀδρανῆ, ἀναβήσσοντα, ξυντετηκότα, ἀτρεκέα μαντεύεται φθόην.

1.8.4 ἀτὰρ ἠδὲ ὁκόσοισι μὲν ἕλκος μὲν οὐκ ἔστι ἐν πνεύμονι, ξυντετήκασι δὲ πυρετοῖσι χρονίοισι, πυκνὰ δὲ καὶ σκληρὰ καὶ ἀτελέα βήσσουσι, καὶ ἀνάγουσι οὐδέν, καὶ τούσδε φθισικοὺς κικλήσκουσι, οὐ πάνυ ἀσήμως. ξύνεστι δὲ τοῦ θώρηκος βάρος (πνεύμων γὰρ ἄπονος), ἄση, δυσφορίη, ἀποσιτίη· ἑσπέρῃ περίψυξις, καὶ θέρμη ἐς τὴν ἕω· ἱδρὼς ἄχρι θώρηκος τῆς θέρμης δυσφορώτερος· βηχὸς ἀναγωγαὶ ποικίλαι, ὁκοίας ἔλεξα.

1.8.5 φωνὴ βραγχώδης· αὐχὴν ὑποσκόλιος, ῥαδινός, οὐκ εὐπαράγωγος, ὁκοῖόν τι ξυντεταμένος· δάκτυλοι ἰσχνοί, τὰ δὲ ἄρθρα παχέα· ὀστέων μούνων ἡ ἰδέη· σμύχονται γὰρ αἱ σάρκες· ὄνυχες γρυποὶ δακτύλων, αἱ κοιλίαι ῥυσαὶ καὶ πλατέες· ὑπ’ ἀσαρκίης γὰρ οὔτε τὴν περιτένειαν οὔτε τὸ

στρογγύλον ἴσχουσι. διὰ τόδε καὶ ὄνυχες γρυποί· ἥδε γὰρ ἡ ἀνακωχὴ καὶ ἡ ὑπόστασις αὐτέων, ἥτις ἐν τῇσι κορυφῇσι πεπιλημένη εἵνεκεν αὐτῶν.

1.8.6 ἔστι καὶ ὁ τόνος, ὥσπερ καὶ τὰ στερεά· ῥὶς ὀξείη, ἰσχνή· μῆλα ὑπερίσχοντα καὶ ἐρυθρά· ὀφθαλμοὶ κοῖλοι, στιλπνοί, γανόωντες· οἰδαλέοι καὶ ὠχροί, ἢ πελιδνοὶ τὰ πρόσωπα· γνάθων τὰ λεπτὰ ποιεῖ ὀδοῦσι προσιζάνειν· μειδιῶσι ἴκελοι, τὰ πάντα νεκρώδεες. ὧδε καὶ τὰ πάντα ἴσχει· ἰσχνοί, ἄσαρκοι· βραχιόνων μύες ἄδηλοι, μαζῶν οὐδὲ ἴχνη, ἐκφανέες δὲ μοῦναι θηλαί· πλευρὰς οὐ καταλέξαι μοῦνον εὔσημον, ἀλλὰ καὶ ὅπῃ κραίνουσι, ἐσιδεῖν ῥηΐδιον· οὐδὲ γὰρ αἱ πρὸς τοὺς σπονδύλους ξυναρθρώσιες εὐξύγκρυπτοι· δῆλαι δὲ καὶ αἱ ἐς τὸ στέρνον ἐπιβολαί.

1.8.7 τὰ μέσα τῶν πλευρέων κοῖλα, ῥοιβοειδέα, ὡς ἐς τὴν τῶν ὀστέων περιαγωγήν· ὑποχόνδρια λαγαρά, ἀνεσπασμένα· ἐπιγάστριον τῇ ῥάχει προσφυὲς καὶ λαγών. ἄρθρα [ἐναργῆ] ἔξαρθρα, ἀσαρκώδεα, καὶ ἡ κνήμη, ἰσχίον τε καὶ βραχίων. ὑπερίσχει γὰρ ἡ ἄκανθα τῶν σπονδύλων ἡ πρόσθεν κοίλη τῶν ἑκατέρωθεν ἐκτετηκότων μυῶν· ὠμοπλάται ἐκφανέες ὅλαι, ὅκως πτέρυγες ὀρνίθων. τουτέοισι ἢν κοιλίη ἐκταραχθῇ, ἀνέλπιστοι· ἢν δὲ ἐς ὑγείην τρέπηται, τὰ ἐναντία τοῖσι ὀλεθρίοισι ἐπιφοιτῇ.

1.8.8 γηραιοὶ μὲν οὐ ξυνεχέες πάσχειν, διαδιδρήσκουσι δ’ ἥκιστα· νέοι δὲ μέχρι ἀκμῆς ἀπὸ αἵματος ἀναγωγῆς φθινώδεες γίγνονται, καὶ ὑγιάζονται μέν, οὐ ῥηϊδίως δέ· παιδία ξυνεχῶς τε βήσσει μέχρι φθόης 〈καί〉 κοτε ῥηϊδίως ὑγιάζεται. ἕξιες δὲ ῥαδινοί, σανιδώδεες, πτερυγώδεες, ἐξεχέβρογχοι, λευκοί, ἀραιότεροι τὸν θώρηκα. χῶραι δὲ ψυχραὶ καὶ ὑγραί, ὁκόσαι τῷ εἴδεϊ τοῦ πάθεος ἀδελφαί. Περὶ ἐμπυϊκῶν.

1.9.1 Οἷσι ἐν τῇσι κοιλίῃσι τὰ ἄνω κατ’ ἴξιν τοῦ θώρηκος ἢ τὰ κάτω ὑπὸ τὸ διάφραγμα πύου ἀποστάσιες γίγνονται, ἢν μὲν ἀνάγωσι, ἔμπυοι οἵδε καλέονται· ἢν δὲ τὸ πῦον διεξίῃ κάτω, ἀποστηματίαι κικλήσκονται. καὶ ἐν μὲν θώρηκι ἐν τοῖσι ἕλκεσι, ἤτοι ἐν πνεύμονι, ἣν ἐκδέχεται φθόη, ἢ ὑπεζωκότι ἐν πλευρῷ, ἢ στέρνῳ, ἢ κάτω πῃ πρὸς τῇ ξυμφύσει τοῦ πνεύμονος κατὰ ῥάχιν, ἤ πῃ τοῦ θώρηκος ἄλλῃ, —ξυμπάντων δὲ ἐς ἀναγωγὴν ὁδὸς τῷ πύῳ πνεύμων. ὑπὸ δὲ τὸ διάφραγμα ἐν τοῖσι σπλάγχνοισι, ἥπατι, σπληνί, νεφροῖσι, κύστει, ἐπὶ γυναικῶν δὲ καὶ ὑστέρῃ.

1.9.2 ἔταμον δὲ καὶ ἐγὼ ἐν κώλῳ τινί κοτε ἀπόστασιν ἐπὶ δεξιὰ πρὸς ἥπατι, καὶ πολλόν τι ἐσσύθη ἔξω πῦον, πολλὸν δὲ καὶ διὰ νεφρῶν καὶ κύστιος ἐς ἡμέρας πλεῦνας ἐρρύη, καὶ περιεγένετο ὥνθρωπος. αἰτίαι δὲ ξυναὶ μὲν ἁπάντων, πληγή, ἀπεψίη, ψῦξις, ἠδὲ ὁκόσα τοιάδε. τοῖσι δὲ ἐν θώρηκι, βὴξ χρονίη, καὶ πλευρῖτις, καὶ περιπνευμονίη, καὶ ῥεῦμα χρόνιον· ἀτὰρ ἠδὲ ὀξείας νούσου ἐς ἕν τι τουτέων ἀπόσκηψις.

1.9.3 τὸ δὲ ὑγρὸν ἄλλοτε μὲν ἀεργόν, ἀδρανὲς ἐγκέεταί τῳ ἄλλῳ· ἄλλοτε δὲ δριμὺ δάπτον καὶ σηπεδόνας ἐμποιεόν μέσφι θανάτου. καὶ γὰρ καὶ ἰδέαι μυρίαι, ὁκόσας αὖθις φράσω. θῶμα δὲ ὅκως ἐξ ὑμένος λεπτοῦ τε καὶ ἰσχνοῦ βάθος οὐκ ἴσχοντος τοῦ ὑπεζωκότος, τοσόνδε ῥέει πῦον· πολλὸν γὰρ πολλοῖσι ξυνελέγη. αἰτίη δὲ φλεγμασίη ἀπὸ περιουσίης αἵματος, ἐφ’ ᾗ παχύνεται ὁ ὑμήν, ἀτὰρ ἠδὲ ἐκ πολλοῦ αἵματος πολλὸν γίγνεται ἐν μέσῳ πῦον. κἢν μὲν εἴσω ῥέπῃ, αἱ πλευραὶ τὰ ὀστέα κατὰ χώραν τὴν σφῶν αὐτέων *** φθίσιν ἔλεξα πρόσθεν ἑτέραν ἔμμεναι ξυμβεβῶσαν κατὰ φύσιν. ἢν δὲ ἔξω ῥέπῃ, διΐσταται τὰ ὀστέα· ἐς γὰρ ἕν τι τῶν μέσων πλευρῶν τῆς ἀποστάσιος ἡ κορυφὴ ἐγείρεται, εὖτε ἔνθα καὶ ἔνθα πλευρὰ παρωθέεται.

1.9.4 σημήϊα δὲ τὰ μὲν ἁπάντων ξυνά, τὰ δὲ ἑκάστου ἴδια· βάρος ἢ πόνος γε ξυνόν· πνεύμων γὰρ ἄπονος· πυρετοὶ ἀμυδροί, ῥίγεα πρὸς ἑσπέρην, ἱδρῶτες ἐπ’ ἀνέσει, ἀγρυπνίη· οἰδήματα ἐν ἄκροισι ποσὶ καὶ χειρῶν δακτύλοισι, ἄλλοτε καὶ ἄλλοτε καθιστάμενα καὶ ἐπαιρόμενα· δυσφορίη, ἀποσιτίη, ἰσχνότης ὅλου. ἢν δὲ καὶ μῆκος ἴσχῃ ἡ μεταβολή, ἕξις φθινώδης. οὐ γὰρ ἔτι 〈ἡ〉 φύσις ἔργου ἔχεται, οὐ γὰρ πέψις ὁκοίη πρόσθεν, οὐκ εὐσαρκίη· χροιὴ ζοφώδης. ἀναπνοὴ πᾶσι μὲν κακή, κακίων δὲ οἷσι ἐς τὴν ἄνω κοιλίην. ἀτὰρ καὶ βὴξ τὰ πρῶτα, μέσφι ἂν ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φλεγμασίη [ἢ] πιέζῃ, εὖτε καὶ πόνοι μέζονες καὶ ῥίγεα, καὶ θέρμη, καὶ ἀγρυπνίη, καὶ δύσπνοια ἐπὶ μᾶλλον· σφυγμοὶ σμικροί, νωθροί, ἀδρανέες· τὴν γνώμην παράληροι· διάτασις τοῦ θώρηκος.

1.9.5 ἢν δὲ ἤδη ἐς γέννησιν ἥκῃ πύου, πάντα μέγιστα· ἀναγωγὴ δὲ σμικρὴ ἐπὶ βηχὶ μέζονι καὶ ἐξ ἀποστάσιος βιαίης, τὰ πρῶτα φλεγματωδέων χολοβάφων ἐπὶ τὸ μελάντερον, ὅκως ἐξ αἰθάλης· ἔτι δὲ διαίμων καὶ παχέων. ἢν δὲ καὶ ῥαγήσεσθαι μέλλῃ, καὶ σαρκοειδέων βαθέων· κἢν ῥαγῇ, κίνδυνος μὲν πνίξιος, ἢν πολλὸν καὶ ἀθρόον ἐκχυθῇ πῦον· ἢν δ’ ὦν ἐκρέῃ σχέδην, ἀτρεμέει. πῦον ἢν κάτω περῆσαι θέλῃ, τὰ μὲν ἄνω μέρεα, ἔνθα ἡ ἀπόστασις, ὀξὺς πόνος· κοιλίη ὑγρή, τὰ πρῶτα ὑδατώδεα ξὺν φλεγματώδεσι, ἔπειτα περίρροια αἱματωδέων, καὶ αὖθις σαρκοειδέων, ἢν ἤδη ῥαγῇ. ἕπεται δὲ τουτέοισι πῦον, ἢ διὰ κοιλίης, ἢ οὔρων· ἀγαθαὶ δὲ πάντων μᾶλλον αἱ ἐς νεφροὺς καὶ κύστιας μεταλήψιες.

1.9.6 φέρεται δέ, ἤν τε ἄνω ἤν τε κάτω, χρόος πύου ποικίλον, ὠχρόν, ἢ λευκόν, ἢ τεφρίζον, ἢ πελιδνόν, ἢ μέλαν· καὶ κακῶδες ἢ ἄνοσμον· καὶ παχύτατον ἢ μέσως ἴσχον· ἢ λεῖον ὁμαλὸν ἢ τρηχύ, ἢ ἀνώμαλον· καὶ σαρκοειδέα τὰ ἐμπλώοντα, στρογγύλα, ἢ πλατέα, ῥηϊδίως ἀποπλυνόμενα, ἢ ἰξώδεα. ἀθρόον δὲ περὶ πύου εἰρῆσθαι, ὁκόσα μὲν λευκά, πέπονα, ἄνο- σμα, λεῖα, στρογγύλα καὶ ἀναβήσσεται θᾶσσον ἢ ὑποφέρεται, περιεστικά· ὁκόσα δὲ ἔξωχρα, χολώδεα, ἀνώμαλα, μοχθηρά· πολλὸν δὲ τουτέων κακίω τὰ πελιδνὰ καὶ μέλανα· σηπεδόνα γὰρ καὶ ἀνεσθιόμενα σημαίνουσι τὰ ἕλκεα.

1.9.7 προσξυνιέναι δὲ τουτέοισι καὶ τὴν ἕξιν καὶ τὰ ξυνομαρτέοντα τῇ νούσῳ. ἢν γὰρ ἐπὶ τῇ ἐκκρίσει εὐφόρως φέρῃ, ἄπυρος γίγνηται εὖ τε πέσσῃ, εὔχρους, εὔσιτος· ἢν ἀναβήσσῃ εὐμαρῶς, εὔσφυκτος, εὔτονος γίγνηται, ἀνώλεθρος ὁ νοσέων· ἢν δὲ ἐπιπυρεταίνῃ καὶ πάντα ἐς κακὸν τρέπηται, ἀνέλπιστος. προσξυνιέναι δὲ καὶ τὰ χωρία, ἔνθα αἱ ἀποστάσιες.

1.9.8 ὁκόσοισι γὰρ ἐν τῷ στέρνῳ τὸ ἐμπύημα γίγνεται, βραδέως ἀφίσταται. ψιλὰ γὰρ καὶ ἄσαρκα καὶ χονδρώδεα τὰ μέρεα· τὰ δὲ τοιάδε οὐ ῥηϊδίως δέχεται φλεγμονῆς περιουσίην, ἀνεκπύητα δὲ μίμνει πουλὺν χρόνον· ψυχρὸν γὰρ οἱ χόνδροι. ἀλλὰ τῶνδε ἀσινέες μὲν αἱ φλεγμοναί (τῆς ἕξιος δὲ κακαὶ ξυντήξιες)· μακρὸν γὰρ διαπυΐσκει χρόνον. σπλὴν καὶ ἧπαρ καὶ πνεύμων καὶ διάφραγμα ὀξύτερα μὲν ἐς ἐμπύησιν, ἐπικίνδυνα δὲ καὶ θανατώδεα. Περὶ τῶν κατὰ τὸν πνεύμονα ἀποστάσεων.

1.10.1 Εὖτε, ὁκόσοισι περιπνευμονικοῖσι ἡ φλεγμασίη μὴ διαχέηται, περιγίγνονται, οἵδε διαδιδρήσκοντες τὸ κάτοξυ τοῦ πάθεος ἔμπυοι γίγνονται. τὰ μὲν ὦν μελλούσης ἢ τετελεσμένης ἀποστάσιος σημεῖα ἐν τοῖσι ἐμπυικοῖσι ἔλεξα· ἢν δὲ τελεσθῇ, οὐ βίης καὶ πόνων ἐς ἀπόρρηξιν καὶ ἀναγωγὴν χρέος, ὅκωσπερ ἐν τοῖσι σώμασι· ἀλλὰ γὰρ ῥηϊδίως ἀναφέρεται, διατάσιος μᾶλλον τῶν ἀραιωσίων γενομένης ἤπερ ἕξιος σωμάτων.

1.10.2 μανὸς γὰρ καὶ πολύτρητος ὁ πνεύμων, σπογγιῇ ἴκελος, οὐ χαλεπαίνων τῷ ὑγρῷ, ἄλλην ἀπ’ ἄλλης εὐρυχωρίην ἀμείβοντι, μέσφι τῆς τρηχείης ἀρτηρίης ἥκειν. περίοδοι δὲ τῷ ὑγρῷ ῥηΐδιαι· εὐκαμπὲς γὰρ ἠδὲ ὀλισθηρὸν πῦον· ἀτὰρ καὶ ἡ ἀναπνοὴ ἄνω τὸ πνεῦμα φυσῇ. περιγίγνονται δὲ τὰ πολλά, εἰ μή κοτέ τις ἀποπνιγῇ ἀθρόῃ ἑλκύσει τοῦ ὑγροῦ, τῆς ἀρτηρίης οὐ δεχομένης τὸν ἠέρα πλήθεϊ τοῦ πύου.

1.10.3 θνήσκουσι δὲ μετεξέτεροι χρόνῳ τὸν φθινώδεα καὶ τὸν ἐμπυϊκῶν τρόπον. τὰ δὲ πῦα λευκά, ἔπαφρα, σιέλῳ ξυμμεμειγμένα· ἄλλοτε δ’ αὖ τεφροειδέα ἢ ὑπομελανίζοντα. καὶ βρογχίον κοτὲ ἀνεπτύσθη ἐπὶ ποικίλῳ ἕλκεϊ, ἢν βάθος ἴσχῃ ἡ ἀπόστασις, εὖτε καὶ ἀπορρῶγες ἀναφέρονται τοῦ σπλάγχνου. βραγχώδεες, βραχύπνοοι, βαρύφωνοι· τὰ στήθεά σφιν εὐρέα γίγνεται, καὶ εὐρυτέρων τῆς ὑγρασίης δέονται· ὀφθαλμῶν τὰ μέλανα στιλπνά· τὰ δὲ λευκὰ λευκότατα καὶ

πίονα· μῆλα ἐρευθῆ, φλέβες ἐν τῷ προσώπῳ κυρταί. θῶμα δὲ ἐπὶ τουτέων· τόνος μὲν γὰρ εὐσαρκίης μέζων, εὐψυχίη δὲ τόνου δυνατωτέρη. Περὶ ἄσθματος.

1.11.1 Εἰ ἀπὸ δρόμου καὶ γυμνασίων καὶ παντὸς ἔργου δυσπνοεῖ ἡ ἀναπνοή, ἆσθμα καλεῖται. καὶ ἡ νοῦ- σος δὲ ὀρθόπνοια καὶ ἥδε κικλήσκεται ἆσθμα. ἐν γὰρ τοῖσι παροξυσμοῖσι ἀσθμαίνουσι καὶ οἵδε. ὀρθόπνοιαν δὲ ἐκάλεον, οὕνεκεν ὀρθίῳ σχήματι μοῦνον ἀναπνέουσι εὐφόρως· πνὶξ γὰρ ἐν κατακλίσει. εἵνεκεν τοῦ τόνου τοῦ ἐπὶ τῷ πνεύματι ὀρθόπνοια τοὔνομα. ὄρθιος γὰρ ἀνατέταται ἐς ἀναπνοήν, κἢν ὕπτιος κατακλινθῇ ὤνθρωπος, κίνδυνος πνιγῆναι. πάσχει δὲ πνεύμων· ξυμπαθέει δὲ καὶ τὰ ξυντελοῦντα ἐς ἀναπνοήν, διάφραγμα, θώρηξ· ἢν δὲ κραδίη πάθῃ, οὔκοτε ἐς πολλὸν διαρκέσει· τῇδε γὰρ ἡ τῆς ἀναπνοῆς καὶ τῆς ζωῆς ἀρχή.

1.11.2 αἰτίη δὲ ψῦξις καὶ ὑγρότης τοῦ πνεύμονος· ὕλη δὲ ὑγρά, παχέα, κολλώδεα. εὐπαθέες δὲ γυναῖκες ἀνδρῶν μᾶλλον, ὅτι περ ὑγραί τε καὶ ψυχραί. οἱ δὲ παῖδες τούτων περιγίγνονται ῥηΐτερον· ἡ γὰρ φύσις ἐν αὐξήσει θερμῆναι δυνατωτάτη. ἄνδρες δὲ εἰ καὶ μὴ ῥηΐδιοι παθεῖν, ἀλλὰ θνῄσκουσι θᾶσσον. ἀμβολὴ δὲ θανάτου ὅσοισι ἐν ἔργου πρήξει, ἢ ἐν εἰρίοισι πνεύμων θάλπεται καὶ διαίθεται, ὁκοῖόν τι τοῖσι τῆς τιτάνου ἐργάτῃσι, ἢ χαλκεῦσι, ἢ σιδηρεῦσι, ἢ [καὶ] λουτρῶν πυρσευτῆρσι.

1.11.3 μελλησμοῦ δὲ σημήϊα βάρος τοῦ θώρηκος, ὄκνος ἐς τὸ ξύνηθες ἔργον, ἀτὰρ ἠδὲ ἐς ἅπασαν πρῆξιν, δύσπνοια ἐν δρόμῳ, ἢ πρὸς ὁδὸν ὀρθίην· βραγχώδεες καὶ βηχώδεες· φῦσα ἐν τοῖσι ὑποχονδρίοισι καὶ ἐρυγαὶ παράλογοι· ἀγρυπνίη, θερμασίη νύκτωρ σμικρή, ἀσαφής· ῥὶς ὀξείη, ἐς ἀναπνοὴν ἑτοίμη.

1.11.4 ἢν δὲ ἐπὶ μέζον τὸ κακὸν ἕρπῃ, μῆλα ἐρυθρά· ὀφθαλμοὶ προπετέες, ὡς ἐπ' ἀγχόνῃ· ῥωχμὸς 〈ἐν〉 ἐγρηγόρσει, πολλὸν δὲ μέζον τὸ κακὸν ἐν ὕπνῳ. ὑγρὴ καὶ ἄηχος ἡ φωνή· πολλοῦ καὶ ψυχροῦ ἠέρος ἐπιθυμίη· ἐς τὸ ὕπαιθρον ἵενται· πᾶς γὰρ αὐτέοισι οἶκος ἐς ἀναπνοὴν οὐ διαρκής. ἀναπνέουσι ὄρθιοι, ὅκως ἅπαντα σπάσαι τὸν ἑλκόμενον ἠέρα ποθέοντες· ὑπ' ἀπορίης δὲ τοῦ ἠέρος καὶ διοίγουσι τὸ στόμα, ὡς τῷδε μέζονι χρεόμενοι· ὠχροὶ τὰ πρόσωπα πλὴν τῶν μήλων· τάδε γὰρ ἐρευθῆ. ἱδρὼς περὶ μέτωπον καὶ κληῖδας· βὴξ ξυνεχής, βιαίη· ἀναγωγὴ σμικρή, λεπτή, ψυχρή, ἰκέλη ὁκοῖόν τι καὶ ἀφροῦ ἐπάνθισμα· τράχηλος οἰδέει πνεύματος πρήσει· ὑποχόνδρια ἀνεσπασμένα· σφυγμοὶ σμικροί, πυκινοί, πιεζεύμενοι· ἰσχνὰ σκέλεα· κἢν ὑπερταθῇ τάδε, ἀπέπνιξέ κοτε ἐπιληπτικῷ τρόπῳ.

1.11.5 ἢν δὲ ἐς ἀγαθὸν τρέπηται, βὴξ σμικροτέρη καὶ ἀραιοτέρη· ἀναγωγὴ πλεύνων τε πύων καὶ ὑγροτέρων· κοιλίης τάραχος πολλῶν ὑδατωδέων· οὔρων ἔκκρισις πολλή, κἢν ἐς ὑπόστασιν μηδέκω ἥκῃ· φωνὴ γεγωνοτέρη· ὕπνοι αὐτάρκεες· ὑποχονδρίων ἄνεσις. ἧκέ κοτε πόνος ἐς μετάφρενον ἐπ' ἀνέσει. ἆσθμα ἀραιόν, λεῖον, 〈οὐ〉 κερχνῶδες. ὧδε μὲν ὦν διαδιδρήσκουσι τὸν ὄλεθρον. ἐν δὲ τῇσι ἐπανέσεσι, κἢν περιῶσι ὀρθοστάδην, τοῦ πάθεος φέρουσι ξύμβολα. Περὶ πνευμωδῶν.

1.12.1 Ἄσθματος ἰδέη τὸ πνευμῶδες καὶ ἀπὸ τοῦ πνεύμονος τὸ πάθος, ὅκως ἐπ' ἄσθματι. ξυνὰ γὰρ καὶ τὰ παρεόντα· σμικρὸν δὲ καὶ τὸ διάφορον. δύσπνοια μὲν γὰρ καὶ βὴξ καὶ ἀγρυπνίη καὶ θέρμη ξυνά, καὶ ἀποσιτίη καὶ ἰσχνότης ὅλου. καὶ γὰρ ἐς χρόνον τὸ κακὸν ἀποτείνεται, πλὴν οὐ περαιτέρω ἑνὸς ἔτεος. ἤν τε γὰρ τὸ μετόπωρον ἄρξῃ, ἐς τὸ ἔαρ ἢ τὸ θέρος ἀπογίγνονται· ἤν τε χειμών, ἐς τὸ μετόπωρον τελευτῶσι τὸν βίον. κοτὲ καὶ γέροντες ἁλῶναι ῥηΐδιοι καὶ ἀπόφρικτοι ἁλόντες, ὅσον βραχείης ῥοπῆς ἐς εὐνὴν θανάτου χρέος.

1.12.2 ἄγχιστα δὲ ἅπαντες ἄπνοοι· σφυγμοὶ σμικροί, πυκνοί, ἀμυδροί. ἀλλὰ τάδε μὲν ξυνὰ πρὸς τὸ ἆσθμα· ἰδίᾳ δὲ ἀναβήσσουσι ὡς ἀνάξοντες. ματαιοπονέουσι δέ· οὐδὲν γὰρ ἀνάγουσι· ἢν δέ τι τοῦ πνεύμονος ἀπορραγείη βίῃ, σμικρόν, λευκόν, στρογγύλον, χαλαζῶδες. θώρηξ εὐρύτερος μέν, ἀδιάστροφος δὲ ἠδὲ ἀνέλκωτος. εἰ δὲ ἀνεκπύητος ὁ πνεύμων ᾖ, ὑγρῶν δὲ ὁκοῖόν τι πεπηγότων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔμπλεως, διαλείψιες τῶν παροξυσμῶν τοῦδε μέζονες. οἱ μὲν ὦν ἀπεπνίγησαν θᾶσσον, πρίν τι κάκιον ἐς τὸ πᾶν ἀποσκῆψαι. μετεξετέροισι δὲ ἐς ὕδερον περὶ λαγόνα ἢ ἀνὰ σάρκα τὸ πάθος τελευτᾷ. Περὶ ἥπατος.

1.13.1 Ἧπαρ σπληνὶ ἐς γένεσιν μὲν ἰσόρροπον· δεξιὰ γὰρ ἠδὲ ἐπ’ ἀριστερὰ τὰ σπλάγχνα ἰσάριθμα τῇ φύσει· ἄνισα δὲ ἐς δύναμιν καὶ ἐν ὑγείῃ καὶ ἐν νούσοισι· ἐν ὑγείῃ μέν, ὅτιπερ τὸ κράτος τῆς τροφῆς τὸ ἧπαρ ἴσχει· ῥίζωσις γὰρ φλεβῶν ἧπαρ· ἀτὰρ καὶ ἐν νούσοισι καὶ ἐς ὑγείην πολλόν τι ἰσχυροτέρην ἔχει τοῦ θανάτου τὴν αἰτίην. ὁκόσον ὦν ἧπαρ ἐς ὑγείην κρέσσον, τοσόνδε κάκιον ἐν νούσοισι. καὶ γὰρ ἐπιφλεγμαίνει θᾶσσόν τε καὶ βιαιότερον, καὶ ἀφίσταται ξυνεχέστερόν τε καὶ ὀλεθριώτερον. ἐπὶ σκίρρῳ δὲ ὠκύτερον σπληνὸς καὶ περιαλγέστερον κτείνει. τὰ μὲν ὦν τῆς φλεγμασίης ἐν τοῖσι ὀξέσι ἔλεξα.

1.13.2 ἢν δὲ ἐς πῦον τρέπηται, ὀδύνη ὀξεῖα ἴσχει μέσφι κλειδὸς ἢ ἄκρου ὤμου. ὑπὸ γὰρ τοῦ ἄχθεος ἕλκεται τὸ διάφραγμα, ἐξ οὗ τὸ ἧπαρ ἤρτηται· τὸ δὲ διάφραγμα τὸν ὑπὸ τῇσι πλευρῇσι ὑμένα βρίθει· ξυνῆπται γὰρ αὐτέῳ· ὁ δὲ ἐπὶ τὴν κληῖδα ἠδὲ ἄκρον τὸν ὦμον ἀποτέταται, καὶ τάδε ξυνεφέλκεται κάτω. πῦρ δριμὺ ξὺν ῥίγεσι ἐπὶ τῇ ἀποστάσει· βὴξ ξηρή, οὐ μάλα πυκινή· χροιῇ χλοήβαφοι· ἢν δὲ κατακορέως ἔωσιν ἰκτερώδεες, τοῦ λευκοχρόου εἴδεος. ὕπνοι καθαροὶ φαντασίης οὐ μάλα· νηφαλέοι μὲν ἐς πάντα, ἐς ἓν δέ τι τῶν προσκαίρων ἐξαπίνης παρακοπαί, καὶ κατεστάθησαν εὐθέως.

1.13.3 ὄγκος ὑπὸ τιτθῇσι ἢ πλευρῇσι, ἀπάτη δὲ πολλοῖσι ὅκως περιτοναίου γίγνεται. ἀλλ’ ἢν μὲν ᾖ ὑπὸ τὰς νόθας ὄγκος ὀδύνη πιεζευμένοις, τὸ ἧπαρ οἰδέει· ἐμπλῷ γὰρ ὑγρασίῃ· ἢν δὲ μὴ ὑπὸ τὸ ὀστέον *** μίμνωσι οἰδέει τοῦ ὑμένος τὸ σημεῖον. καὶ τοῦ μὲν περιγραφὴ καὶ τὰ ὅρια δῆλα· μετὰ γὰρ τὴν περιαγωγὴν τῶν λοβῶν ἐς λαγαρὸν τὸ ἐπιγάστριον πιέζουσα χεὶρ ἱζάνει· περιτοναίου δὲ ἀόριστος ἡ σκληρίη καὶ τοῦ πέρατος ἡ ἀπόφυσις ἀφανής. κἢν μὲν εἴσω ἡ ἀπόστασις ῥέπῃ, πολλόν τι κρέσσον ἡ φύσις ἰητροῦ. ἢ γὰρ ἐς ἔντερα ἢ ἐπὶ κύστιν τρέψει τὸ πῦον· ἀσινεστέρη δὲ πολλὸν ἡ ἐς κύστιν ὁδός. ἢν δὲ ἔξω ῥέπῃ, κακὸν μὲν μὴ τάμνειν. ἢν [τε] γὰρ οὕτως ἔῃ, ἀνεσθίεται ὑπὸ τοῦ πύου τὸ ἧπαρ, καὶ οὐκ ἐς ἀμβολὴν ὁ θάνατος.

1.13.4 ἢν δὲ θέλῃς τάμνειν, αἱμορραγῆσαι κίνδυνος, καὶ αὐτίκα τὸν ἄνθρωπον ἐκθανεῖν· ἄσχετος γὰρ αἱμορραγίη ἐφ’ ἥπατι. ἢν ὦν ἐς ἀνάγκην τομῆς κατίῃς κοτέ, καυτῆρα ἔμπυρον διαφανέα πυρῶσαι, καὶ διῶσαι μέσφι τοῦ πύου. τωὐτὸ γάρ σοι τέμνει τε καὶ καίει. καὶ ἢν περιγίγνηται, πῦον ἐκρεύσει λευκόν, πέπον, λεῖον, 〈οὐ〉 κακῶδες, ὅτι παχύ. τοῖσδε καὶ πυρετοὶ καὶ τὰ δεινὰ ξυνδιδοῖ, ῥηϊδίως τε ἀλθέξεται πάντα. ἢν δὲ ἐς ἔντερον τὸ πῦον ἐγχέηται, ἡ γα- στὴρ πρώτιστα μὲν ὑδατώδεα διαρρέει, ἔπειτα κρεῶν πλύμασι ἴκελα, αὖθις αὖ δυσεντεριώδεα, ὁκοῖα ἐφ’ ἕλκεσι· ἀτὰρ καὶ αἱμάλωψ κοτὲ καὶ θρόμβος ἠνέχθη· φέρεται καὶ χολὴ ξανθὴ κατακορής, ἢ πρασοειδής, καὶ ὑστάτη ἐς ὄλεθρον μέλαινα.

1.13.5 ἢν δὲ ἀνεκπύητον τὸ ἕλκος γίγνηται, καὶ κακώδεα ἡ γα- στὴρ ὁκοῖόν τι σηπεδόνα ὑπάγει, τροφὴ ἄπεπτος διεκθέει ὑπ’ ἀκρασίης κοιλίης τε καὶ ἐντέρων· οὐ πέπτει γὰρ αὖθις εὖ ἔχον τὸ ἧπαρ. πῦρ τε ἐπὶ τοῖσδε δριμύ, καὶ πάντων ἐς κακὸν ἡ τροπή· σαρκῶν ξυντήξιες· σφυγμοὶ σμικροί· δύσπνοοι, εὖτε οὐκ εἰς μακρὸν ἐτελεύτησαν τὸν βίον. μετεξετέροισι δὲ ἡ δυσεντερίη μὲν καὶ τὸ ἕλκος ἰήθη, ἐς ὕδρωπα δὲ κατέστρεψε ἡ νοῦ- σος. ἢν δὲ ἅπαντα ξυνδιδῷ, πῦον λευκόν, λεῖον, ὁμαλόν, ἄνοσμον διεκρέει ἡ γαστήρ, πέπτει δὲ τὰ σιτία, εὔελπις ὤνθρωπος. ἄριστον δὲ δι’ οὔρων κεκρίσθαι· ἀσφαλεστέρη γὰρ καὶ ἀσινεστέρη ἡ τῇδε τοῦ πύου ὁδός.

1.13.6 ἢν δὲ ἀπὸ τῆς φλεγμονῆς ἀνεκπύητον ᾖ τὸ ἧπαρ, ἄπονον μὲν οὐ γίγνεται, τὸν ὄγκον δὲ τὸν σκληρὸν ἶζον ἐς σκίρρον ἱδρύεται. εὖτε πόνος μὲν οὐ ξυνεχής, νωθὴς δέ, κἢν παρῇ· ἀραιὴ δὲ καὶ θέρμη· ἀποσιτίη· πικρῶν γευμάτων ἡδονή, γλυκέων ἀηδίη· ῥιγώδεες, ὑπόλευκοι, χλωροί,

οἰδαλέοι ὀσφὺν καὶ πόδας· πρόσωπα ῥυσά· γα- στὴρ ξηρή· διαχωρήσιες πυκιναί· κορυφὴ δὲ τῶν κακῶν ὕδρωψ.

1.13.7 ἐπὶ τῷ ὕδρωπι, ἢν μὲν οὖρα πολλά, παχέα, ἐπίδοσιν ἔχοντα πολλὴν ἰλυώδεα, καταρραγῇ, ἐλπὶς ἐκρεῦσαι τὸν ὕδερον· ἢν δὲ λεπτὰ καὶ ἀνυπόστατα καὶ ὀλίγα, τῷ ὕδρωπι τιμωρέει. ἢν δὲ μεταβάλλῃ ἐς τὸ ἀρχαῖον ἡ φύσις καὶ καταρραγῇ κοτὲ ἐς κοιλίην, ἐπὶ πολλοῖσι παχέσι ὑδατώδεσι καὶ τὸν ὕδρωπα ἰήσατο. σφαλερὴ δὲ ἡ τοιαύτη ἐπικουρίη· ἐπὶ γὰρ τῇσι ἀθρόῃσι κενώσεσι ἠδὲ τῇσι ἐσχάτῃσι ξυμπτώσεσι ἐξέθανόν κοτε ὑπ’ ἀδυναμίης οἱ κάμνοντες, ὅκως ἐξ αἱμορραγίης. ἀσινέστερον δὲ λύει ἱδρώς, ἢν πουλὺς ἐκρυῇ· οὐ πάνυ γὰρ ἰκμαλέοι οἱ ὑδρωπιώδεες.

1.13.8 ἥδε τῶν ἐν ἥπατι παθέων ἡ τελευτὴ γίγνεται. ἢν δὲ ἐμπυέῃ τὸ ἧπαρ, *** μείρακες καὶ οἱ μέσφι ἀκμῆς, ἧσσον γυναῖκες. προφάσιες δὲ ἀκρασίη καὶ νοῦ- σος μακρή, μάλιστα ἐπὶ δυσεντερίῃ καὶ ξυντήξεσι· καὶ γὰρ δὴ καὶ τούσδε ἐκίκλησκον ξυντηκτικούς, τοὺς ἐπὶ ἕλκεσι ἥπατος ἰσχνοὺς ἀποθνήσκοντας. Περὶ σπληνός.

1.14.1 Σπληνὶ ξύνηθες χρόνιον νόσημα, σκίρρος. ἔμπυος δὲ οὐ ῥηϊδίως, γίγνεται δ’ ὦν εὖτε πόνος μὲν οὐ τρηχύς, ὄγκος δὲ πουλὺ τῆς ἐπιπονίης μέζων. ἐπὶ δεξιὰ γὰρ ὤφθη μέσφι τοῦ ἥπατος ὅλη τῇ κοινωνίῃ ἐποιδέων. τοὔνεκεν πολλοῖσι ἀπάτη γίγνεται, ὡς τοιοῦδε οὐκ ἐόντος σπληνός, ἀλλὰ τοῦ ὑμένος πάθεος· τὸ γὰρ περιτόναιον φλεγμαίνειν σφίσι δοκέει. ἀπηνὴς δὲ καὶ ἀτέραμνος ὅκως λίθος. τοιόσδε τὰ πολλὰ ἐπὶ σκίρρῳ γίγνεται σπλήν, εὖτε καὶ ἀπονίη ξύνεστι παντελής.

1.14.2 ἢν δὲ καὶ ἐμπυΐσκῃ, εὐαφὴς μέν, εἴκων ἐπὶ τῇ θίξει κατὰ κορυφήν, ἔνθα ἡ τοῦ πύου γέννα· ὅπῃ δὲ ἀνεκπύητος, οὐκ εἴκει. ἄλλοτε δὲ τῇ κοιλίῃ ἅπας ἐπαιώρηται τῇδε κἀκεῖσε πρὸς τὰς ἀπώσιας φερόμενος, ἔστ’ ἂν σμικρότερος ἐὼν χώρην ἐς τὸ ἐμπλώειν ἴσχῃ. ναυτίη, ἀπορίη μάλιστα πρὸς τῇσι ῥήξεσι.

1.14.3 ἐπὶ δὲ τάσιος σημήϊα, πυρετοί, πόνοι καὶ ῥίγεα· τὰ πολλὰ γὰρ ἔασι ἄρριγοι [δὲ] ἐπὶ βραχείῃ θέρμῃ καὶ ἀνώδυνοι· τῇδε καὶ λέληθέ κοτε ἐς σπλῆνα ἀπόστασις· μανὸν γὰρ καὶ ἀνεπαίσθητον καὶ ἐν ὑγείῃ τὸ σπλάγχνον. οἰδαλέοι, ὑδερώδεες, μελάγχλωροι· ξὺν δυσφορίῃ [ἡ] δύσπνοια ὡς ἀπὸ βάρεος τοῦ θώρηκος· ἐπίδηλον γὰρ τὸ κακόν. ἄχρι τῶν ἄνω γα- στὴρ πίμπλαται ὑπὸ πνεύματος παχέος, ὁμιχλώδεος, ὑγροῦ ὡς δοκέειν, οὐκ ἔτ’ ἐόντος ὑγροῦ· βήξ, πολλὸν θυμὸς ἐγγίγνεται, καὶ βραχέα ξηρὰ βήσσουσι. κοιλίη ἤν τι κάτω φέρῃ, ὑδατώδεα, τὸ πρῶτον σμικρὸν ἐπικουφίζουσα· εἰ δὲ ἐπὶ μᾶλλον ἐκδιδῷ, ξυντήκει μὲν τὸν ἄνθρωπον, ὠφελέει δὲ οὐδὲν ἧττον.

1.14.4 ἢν δὲ καὶ ἐκραγῇ, πῦον μὲν καθαρὸν πέπον οὔκοτε ἐσσύθη, ὑπόλευκον δὲ καὶ τεφροειδές, ἄλλοτε δὲ τρυγῶδες ἢ πελιδνόν. ἢν δὲ καὶ βαθυτέρη ἡ ἀπόστασις γένηται, καὶ μέλαν τὸ ὑγρόν· εὖτε καὶ τοῦ χυμοῦ τι τοῦ σπληνὸς ἔξεισι ξυντακέντος· μετεξετέροισι δὲ καὶ ὅλα μέρεα τοῦ σπληνὸς ἠνέχθη· εὔλυτος γὰρ καὶ φύσει σπλήν. ἢν δὲ καὶ μὴ καθίστηται τὸ ἕλκος, μίμνῃ δὲ ἐς πολλὸν χρόνον, ἀπόσιτοι, καχέκται, οἰδαλέοι, ἰδεῖν ἀπρεπέες, πολυελκέες πάντῃ, μάλιστα δὲ ἐς κνήμας· στρογγύλα, πελιδνά, κοῖλα, ῥυπαρά, δυσαλθέα τὰ ἕλκεα· τῇδ’ ἐπιξυντακέντες ὤλοντο.

1.14.5 ἐπὶ δὲ σμικρῷ ὄγκῳ, μετὰ σκληρίης, ἀντιτυπίης, ἀπονίη· διὰ τόδε πολλὸν χρόνον ζῶσι οἵδε. εἰ δὲ τοῦ πάθεος ἡττῷντο, χρεὼν ὕδρωψ ἢ φθίσις, καὶ τοῦ σκήνεος τηκεδὼν ἐπιγίγνεται· ἀτὰρ ἠδὲ οὗτος ὁ τρόπος τοῦ ὀλέθρου σφέας τοῦ ζῆν ἐξάγει. παιδία μὲν ὦν καὶ νέοι παθεῖν τε ῥηΐτεροι καὶ ἀπαλλαγῆναι ῥηΐτεροι· γέροντες δὲ οὐκ εὐπαθέες μέν, διαδρῆναι δὲ ἀδύνατοι· ἀτὰρ καὶ πρεσβῦται ἔλαθόν τινες ὑπὸ σπληνὸς διαφθαρέντες· καὶ γὰρ καὶ ἐπὶ σμικρῷ ὄγκῳ τοῦ ὀλέθρου σφίσιν ἡ ῥοπή. φέρει δὲ καὶ νοῦ- σος μακρή, φθινώδης, καὶ νέοισι ἀργίη μάλιστα, ὁκόσοισι ἀπ’ ἀγωνίης ἢ γυμνασίων πολλῶν ἄπονον τὸ σῶμα. χωρία ἑλώδεα, ὕδατα πλατέα, ἁλμυρά, βρωμώδεα· ὡρῶν τὸ θηριῶδες, μετόπωρον. Περὶ ἰκτέρου.

1.15.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἢν χολῆς ξανθῆς, λεκιθώδεος ἢ κροκοειδέος, ἢ τῆς μελαγχλώρου ἐς τὸ παντελὲς ἀνάχυσις ἀπό του σπλάγχνου γένηται, τὸ πάθος ἴκτερος κικλήσκεται. χαλεπὸν μὲν ἐν ὀξέσι· οὐ γὰρ μοῦνον πρὸ ἑβδόμης κτείνει φανέν, ἀλλὰ καὶ μετὰ ἑβδόμην ἔκτεινε μυρίους· σπανίως δὲ εὖτε ἔκρινε πυρετὸν ἐς τέλος τὸ πάθος, ἀλλ' αὐτὸς οὐ ῥηϊδίως λύεται.

1.15.2 ξυνίσταται δὲ οὐκ ἐπ' αἰτίῃ μοῦνον ἥπατος, ὅκως τισὶ τῶν ἰητρῶν δοκέει, ἀλλὰ 〈καὶ〉 κοιλίῃ καὶ σπληνὶ καὶ νεφροῖσι καὶ κώλῳ. καὶ ἐφ' ἥπατι μὲν ὧδε· ἢν φλεγμαίνῃ [ἢν] μὲν ἢ σκίρρον ἴσχῃ τὸ ἧπαρ, ἄτρεπτον δὲ τὸ ἐς ἐργασίην ἔῃ, τίκτει μὲν ἐν τῷ ἥπατι χολήν, καὶ διακρίνει τήνδε ἡ ἐν ἥπατι οὖσα κύστις. ἀλλ' ἢν αἱ φέρουσαι ἐς τὸ ἔντερον τὴν χολὴν ὁδοὶ ὑπὸ τῆς φλεγμασίης ἢ τοῦ σκίρρου φραχθῶσι, πλημυρῇ δὲ ἡ κύστις, παλίσσυτος ἡ χολή· τῷ αἵματι ὦν μίσγεται, τὸ δὲ αἷμα, ἐς πᾶν τὸ σκῆνος φοιτέον, ἄγει τὴν χολὴν παντὶ τῷ σώματι· γίγνεται δ' ἡ ἰδέη χολῆς. λευκὰ δὲ καὶ ἀργιλώδεα τὰ σκύβαλα· οὐ γὰρ γίγνεται χολόβαφα, ὅτι περ οὐκ ἴσχει τοῦδε τοῦ χυμοῦ τὴν ἐπιρροήν· τῇδε καὶ γα- στὴρ ἐπίξηρος· οὔτε γὰρ ὑγραίνεται οὔτε δάκνεται χολῇ· χροιὴ δὲ τοῦ λευκοχρόου εἴδεος.

1.15.3 ἐπὶ σπληνὶ δὲ ἢν ἴκτερος φανῇ, μελάγχλωρος· μέλαινα γὰρ αὐτέου ἡ τροφή, ὅτιπερ ἐκμαγεῖόν ἐστιν αἵματος μέλανος, οὗ τὴν ἀκαθαρσίην ἐοῦσαν οὐ δέχεται, οὐδὲ ἐκπονέει νοσέων ὁ σπλήν. ἡ δὲ ξὺν τῷ αἵματι πάντῃ φοιτῇ· διὰ τόδε μελάγχλωροι ἀπὸ σπληνὸς ἴκτεροι. ἀτὰρ καὶ ἐπὶ τοῖσι σκυβάλοισι τοῖσι ξυνήθεσι ἔτι καὶ μελάντεροι χροιῇ· τῆς γὰρ σπληνὸς τροφῆς τὸ περιττὸν ἐς ἔξοδον περίττωμα γίγνεται.

1.15.4 καὶ ἐπὶ κώλῳ καὶ γαστρὶ ἴκτερος, ἥνπερ ἐς πέψιν ἡ γα- στὴρ καὶ τὸ κῶλον κακωθῇ. καὶ γὰρ καὶ ἐν τῷ κώλῳ πέψις καὶ ἀπὸ τοῦδε ἡ ἐς τὸ ἧπαρ ἀναγωγὴ τροφῆς. ἢν ὦν ὠμοτέρην τὸ ἧπαρ τὴν ἄλλην τροφὴν λάβῃ, τὴν μὲν ἰδίην ἐργασίην πονέει, τὴν δὲ ὀθνείην ἐᾷ. τὸ γὰρ ἐν τῇ ἀναδόσει αἷμα τὴν ἀεργίην τὴν τοῦ κώλου ἐπέχον διασπείρει πάντῃ χεόμενον· ἀπεψίη δὲ ἡ ἐν κώλῳ χολῆς ἐστι ἐργασίη.

1.15.5 ὧδε καὶ ἐπὶ παντὶ γίγνεσθαι σπλάγχνῳ δυνατὸν ἴκτερον, οὐ μοῦνον τῶν ἐς τὸ ἧπαρ πεμπόντων τροφήν, ἀλλὰ κὴν ἀπὸ ἥπατος λαμβάνῃ. οὐ γὰρ ὀχετοῖσι αἰσθητοῖσι μοῦνον ἡ φύσις πάντῃ διαπέμπει τὴν τροφήν, ἀλλὰ πολλῷ πλέον ἀτμοῖσι, οἵπερ ἀπὸ παντὸς ἐς πᾶν ἐνεχθῆναι ῥήΐδιοι, τῆς φύσιος αὐτοὺς καὶ διὰ στερεῶν καὶ πυκινῶν ἀγούσης. γίγνονται ὦν οἱ ἀτμοὶ χολόβαφοι καὶ χρώζουσι, ᾗ ἂν ἵζωσι τοῦ σώματος. οὐ μὴν ἐπὶ κώλῳ ἡ τῆς κοιλίης ἔκκρισις λευκή· ἀσινὲς γὰρ τὸ ἧπαρ ἐς γένεσιν, καὶ ἐκροὴν ἴσχει ἐπὶ ἔντερα χολῆς.

1.15.6 δυνατωτάτη δὲ καὶ ἡ ἐπὶ τῷ παντὶ ἕξις ἴκτερον τεκεῖν· ἴσχει γὰρ καὶ ἐν ὅλῳ τὴν αἰτίην. ἔστι δὲ τοιήδε· πάντῃ μὲν τὸ θερμὸν ἐς πέψιν, πάντῃ δὲ ὑγρῶν γέννα καὶ διάκρισις, ἄλλῳ μὲν ἄλλη, ἑκάστῳ δὲ οἰκείη· ἐν σαρκὶ μὲν ἱδρώς, ἐν ὀφθαλμοῖσι δὲ δάκρυον, ἐν ἄρθροισι δὲ καὶ ῥινὶ μύξη, ἐν ὠσὶ κυψελίς. ἢν ὦν ἐς ἕκαστον ἔργον τὸ θερμὸν ἐγκάμῃ, αὐτὸ μὲν ἐς δριμὺ καὶ πυρῶδες ἐτράπη, τὰ δὲ ὑγρὰ πάντα γίγνεται χολή· πυρὸς γὰρ ἔργα, πικρὰ καὶ χολόβαφα.

1.15.7 ἢν δὲ καὶ ἐν αἵματι ἀπεψίη ξυμβῇ, γίγνεται τὸ αἷμα χολοειδές, σκίδναται δὲ πάντῃ τρέφον· διὰ τόδε πάντῃ φαίνεται χολή· δεινὸν μὲν γὰρ τὸ πάθος, φοβερὴ δὲ ἡ χρόη εἴδεϊ, καὶ χρυσοειδέες ἔασι τὴν χροιήν· οὐ γὰρ ἀνθρώπῳ εὐπρεπές, ὅ γε ἐν λίθῳ καλὸν ἔῃ. περιττὸν δέ μοι φράζειν καὶ πόθεν τοὔνομα, πλὴν ὁκόσον τῶν χερσαίων ἰκτίδων τῶν τετραπόδων θηρίων· τοιοῖσι δὲ ἔασι οἱ ὦπες οἵδε.

1.15.8 εἴδεα τοῦ πάθεος δοιά· ἢ γὰρ ἐς τὸ ξανθὸν καὶ [τὸ] κροκῶδες ἐτράπη τοῦ λευκοχλώρου εἴδεος, ἢ ἐς τὸ πελιδνὸν καὶ μέλαν. τῶνδε μέντοι ἡ αἰτίη, ἣ δὴ [δὲ] καὶ χολῶν ἐστι αἰτίη· καὶ γὰρ τῆσδε ἡ μὲν ξανθή, λεπτή, διειδής, λεπτοτέρου εἴδεος, ἢ ἐς τὸ πελιδνὸν καὶ μέλαν, ἠδὲ κατακορής, ὡς κρόκον, ἢ λέκιθον φάναι τοῦ αὐτοῦ εἴδεος. δευτέρη δὲ μελαντέρης χροιῆς, πρασίζουσα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰσατώδης, μέλαινα· μυρίαι δὲ ἐν μέσῳ τῶν χροιῶν παραλλαγαί· παρὰ δὲ τὸ θερμὸν τουτέων καὶ τὰ ὑγρὰ ἡ τροπή.

1.15.9 ἀλλὰ καὶ τὰ σπλάγχνα τοῦδέ ἐστι αἴτια· ἢν ᾖ ξανθόν, ὡς τὸ ἧπαρ· ἢ πελιδνόν, ὡς ὁ σπλήν. ἢν γὰρ ἐπὶ σπλάγχνῳ τινὶ ἴκτερος γένηται, ἐπὶ ἥπατι μέν, τὰ ἥπατος προφανέα· ἐπὶ δὲ σπληνί, τὰ σπληνός· ἕκαστα δὲ τὰ τῶν ἄλλων ἑκάστου· ἢν δὲ μηδενὸς φαίνηται, τῆς ὅλης ἕξιός ἐστι ἡ πάθη. διαφανῆ δὲ καὶ τὰ ἐν τοῖσι λευκοτάτοισι ὀφθαλμοῖσι· μετώπου δέ, πρὸς κροτάφοισι μᾶλλον· τοῖσι λευκοῖσι φύσει καὶ ἐπὶ σμικρῷ ἰκτέρῳ ἡ χροιὴ μέζον ἐπανθέει.

1.15.10 ὁκόσοισι μὲν ὦν μέλας ὁ ἴκτερος, χροιῇ μελάγχλωροι, ῥιγώδεες, ἀδρανέες, ὄκνῳ εἴκοντες, ἄθυμοι· βρωμώδεες δὲ τὴν ὀσμήν, πικροὶ δὲ τὴν γεῦσιν· τὴν ἀναπνοὴν οὐκ εὔκολοι· γαστρὶ δακνώδεες· διαχωρήματα προσοειδέα, ὑπομέλανα, ξηρά, μόλις διαχωρούμενα· οὖρα κατακορέα ἐπὶ τὸ μελάντερον. ἄπεπτοι, ἀπόσιτοι, ἄγρυπνοι, ἄθυμοι, μελαγχολώδεες. ἐπὶ δὲ τὸ λευκότερον, χροιῇ μὲν λευκόχλωροι, γνώμῃ δὲ φαιδρότεροι· σιτίων ἄρξασθαι μὲν ὀκνηροί, ἐμφαγεῖν δὲ οὐκ ἀγεννέες· πέψαι ῥηΐδιοι τῶν πρόσθεν μᾶλλον. διαχωρέουσι λευκά, ξηρά, ἀργιλώδεα· οὐρέουσι ξανθά, ὠχρά, κροκοειδέα.

1.15.11 ἀμφοῖν δὲ τὸ ξύμπαν σῶμα κνησμῶδες· θέρμη ἀνὰ ῥῖνας σμικρὴ μέν, δακνώδης δέ. ἀμύσσον τὸ χολῶδες. γεῦσις μὲν πικρῶν οὐ πικρή, τὸ θῶμα, οὐ μὴν γλυκεῖα· γλυκέων δὲ πικρή. ἡ γὰρ ἐν τῷ στόματι χολὴ ἐνίζουσα τῇ γλώσσῃ, ἐπίπροσθεν τῶν ἐδεστῶν ἐντυγχάνουσα, τὴν αἴσθησιν σοφίζεται τήνδε. ἡ γὰρ γλῶσσα ἀναπιοῦσα τῆς χολῆς τῆσδε, οὐκ ἐκείνων, αἰσθάνεται. καὶ τὸν μὲν πρόσθεν τὸν τῆς ἀποσιτίης χρόνον ἀτρεμέει ἡ χολή, ἀτὰρ οὐδὲ ἡ γλῶσσα τῷ ἤθεϊ ἄχθεται. ἢν δὲ ἀναζέσῃ γεύμασι, ἐπίπροσθεν τῶν ἐδεστῶν τὴν γλῶς- σαν ἥδε κινέει. ἤν τε ὦν πικρὸν ἔῃ σιτίον, πικρῶν αἴσθησις· ἤν τε γλυκύ, χολώδεος· φθάνει γὰρ ἡ αἴσθησις τῆς χολῆς.

1.15.12 ἀπάτη δὲ ξύνεστι τοῖσι ἡγευμένοισι τὰ πικρὰ γλυκέα φαίνεσθαι· οὐ γὰρ οὕτως ἔχει. ἀλλ’ ὅτι μὴ ἐπὶ τῷ ἱζάνοντι πικρῷ πικράζεται, μοῦνον διὰ τὸ ξύνηθες τῆς νούσου φαντασίη γλυκάζοντος γίγνεται. ἡ ωὐτὴ δὲ κατάστασις καὶ ἐν γλυκέσι καὶ ἐν πικροῖσι γεύμασι. ἀπατηλῶν ἄρα γευμάτων προκάλυμμα ἡ χολή.

1.15.13 ἢν μὲν ὦν μὴ ξύν τινος σπλάγχνου θερμασίῃ φανῇ, ἀσινὲς μὲν ὡς ἐπίπαν, μακρότερον δέ· ἢν δὲ καὶ ἐγχρονίσῃ καὶ ἐπιφλεγμήνῃ σπλάγχνον, ἐς ὕδρωπα τὰ πολλὰ καὶ καχεξίην τελευτᾷ. πολλοὶ δὲ καὶ δίχα ὕδρωπος ἐκτακέντες ὤλοντο. ξύνηθες δὲ μειρακίοισι 〈καὶ〉 νέοισι, καὶ τοισίδε ἀσινέστερον· παιδίοισι δὲ οὐκ ἄηθες πάγχυ· οὐ πάντῃ δὲ ἀσφαλές. Περὶ καχεξίης.

1.16.1 Ξυμπάντων ὁμοῦ παθέων καχεξίη τροπή· ἅπασαι γὰρ αἱ νοῦσοι τῆσδε ἀπότοκοι. ἀτὰρ καὶ ἥδε μούνη ἄνευθεν τῶν ἄλλων [φαρμάκων ἐπίδοσιν ἔχουσα πολλὴν ἰλυώδεα] κατὰ πρώτιστα γίγνεται πάθος. καὶ ἕξις μὲν κακὴ σχέδιος ξυνὴ πάντων, καὶ ξυμπτώματα πολλά, καὶ οὔνομα τόδε ξύμβολον· ἰσχνότης δὲ ἢ ὦχρος ἢ οἶδος καὶ εἴ τι ἕτερον πρόσκαιρον ἀνὰ τὸ σῶμα. καχεξίη δὲ ἑνὸς μεγάλου πάθεος ἰδέη, καὶ τοῦδε τοὔνομα. ἡ γὰρ τοῦ ἀνθρώπου ἐς τὰ πάντα εὐεξίη, καὶ ἡ ἐς πέψιν ἢ ἐς ἀνάδοσιν αἵματος γέννα· ἠδὲ πᾶν ἔργον φύσιος, ἐφ’ οἷσι εὔπνοια, εὐτονίη, εὐχροίη, τὸ πρόσθεν ὑγείη ἢν δὲ ἐς ἀσθενείην κακοχυμίης ἡ φύσις τραπῇ, τόδε ἐστὶν ἡ καχεξίη. ἡ νοῦ- σος ἥδε δυσαλθής, ἠδὲ μήκιστον κακόν.

1.16.2 καὶ γὰρ τίκτεται χρόνῳ μακρῷ, καὶ οὐδὲ ἐπὶ μιῇ τοῦ σώματος κακίῃ, καὶ οὐδὲ ἐπὶ σπλάγχνῳ ἑνί· ἀλλὰ [γὰρ] τῶν ἁπάντων ἐστὶ τροπὴ ἐς τὸ πονηρόν. τοιγαροῦν τὰ ἀπότοκα τοῦδε νοσήματα ἄφυκτα γίγνεται, ὕδρωπες, ἢ φθίσιες, ἢ ξυντήξιες. καὶ γάρ τοι αἱ τῆς καχεξίης προφάσιες ἀδελφαὶ τῆς ξυντήξιος ἔασι. ἡ δὲ νοῦ- σος μικρὴ δυσεντερίη ξυνεχής· νούσων ὑποστροφαὶ ἐνίοισι. εὐσιτίη μὲν γάρ—καίτοι καὶ προσφέρονται πολλά—ὠμῶν δὲ καὶ ἀτρέπτων ἡ ἀνάδοσις.

1.16.3 ἐργασίη γὰρ τροφῆς ἡ ἐς πέψιν ἄπορος. αἰτίη δὲ καὶ αἱμορροΐδων ῥόου ἐπίσχεσις, ἢ ἐμέτων ξυνήθων ἀπαλλαγή, γυμνασίων. ἀργίη, αὐασμὸς ἱδρώτων καὶ μεγάλων πόνων ῥαθυμίη· εὖτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν παρεόντων ἕκαστον ὡς τὸ μηδὲν οὐκ ἐπιστρέφειν. βάρος τοῦ σκήνεος· ὦχρος ἄλλοτε καὶ ἄλλοτε· γα- στὴρ φυσώδης· ὀφθαλμοὶ κοῖλοι· ὕπνοι βαρέες, νωθροί. ἀλλὰ τάδε ῥεμβώδεα μὲν γιγνόμενα νούσου ἀπιστίην ἴσχει· ἢν δὲ ῥιζώσαντα μίμνῃ μηδὲ ἀπιέναι ἐθέλῃ, μεγάλου κακοῦ ἐστι ξύμβολα.

1.16.4 ἑσταότες μὲν οἰδαλέοι πόδας τε καὶ κνήμας, κατακλινόμενοι δὲ τὰ κεκλιμένα μόρια. κἢν ἐναλλάξῃ τὴν κατάκλισιν, τὸ οἶδος ἐπ' ἐκεῖνα φοιτῇ. ὑγροῦ τε καὶ ψυχροῦ ἐς τὸ βάθος περίοδος· ἢν γὰρ ἡ θέρμη 〈μὴ〉 τὸ ὑγρὸν ἐξατμίζῃ, τοῦδε οὐκ ἀναχεομένου, εἶτα καταρρέει. εὔσιτοι μὲν πολλῶν σιτίων, ἀδηφάγοι κάρτα. ἀνάδοσις ταχυτέρη πέψιος ὠμοτέρων μᾶλλον ἢ ἀπέπτων· ἐξανέργαστον δὲ ἡ θρέψις. ἀλλὰ τόδε οὐκ ἐν τῷ ὅλῳ πέσσεται ὑπὸ τῆς φύσιος. ἡ γὰρ ἐν τῇ κοιλίῃ τοῦ θερμοῦ ἀτονίη καὶ ἐν τῷ σκήνεϊ ὁμοίη· τοιγαροῦν οὐδὲ χρηστὸν οὐδὲ εὔχρουν αἷμα γίγνεται.

1.16.5 καὶ ἐπὴν ὠμῶν ὅλον τὸ σῶμα πλησθῇ καὶ ἡ ἐς τὰ σιτία ὄρεξις οἴχηται, τῆς καχεξίης ὧδε μέσφι στομάχου νεμομένης καὶ τοῦ πάθεος κορυφὴν ἴσχοντος ἤδη, οἰδαλέοι μέν, ἀδρανέες δὲ καὶ ἐς πᾶσαν πρῆξιν ἄθυμοι· κοιλίη δὲ ξηροτέρη· ἄχολα τὰ πολλὰ καὶ λευκά, τρηχέα καὶ ὠμὰ διαχωρέουσι. τὸ σκῆνος αὗοι, ἀνίδρωτες, κνησμώδεες· ὕπνος ἑδραῖος μὲν οὐδαμῇ, κεκλιμένῳ δὲ νυσταγμός· βραδύπνοοι, σφυγμοὶ ἀμαυροί, ἀσθενέες, πυκνοί· πυκνότατοι δὲ ἐπὶ πάσῃ καὶ σμικρῇ πρήξει.

1.16.6 ἆσθμα δὲ ἐπὶ τοῖσδε ἡ ἀναπνοή· φλέβες αἱ 'πὶ τοῖσι κροτάφοισι ἐπηρμέναι ἀσαρκίῃ τῶν πέριξ, ἀτὰρ καὶ ἐπὶ τοῖσι καρποῖσι πουλὺ μέζονες διοιδέουσαι· μελάγχλωρον τὸ αἷμα. ἐπὶ τοῖσδε φθίσις, ἢ ξύντηξις [ἀναπνοὴ] ἀνὰ σάρκα ὕδρωπα, ἤ τινα ἀσκίτην ἤγαγε· καὶ τῶνδε ἄφυκτος ἡ γέννα. φέρουσι δὲ ἡλικίαι, γῆρας, καὶ οὐκ ἀποδιδρήσκουσι· παῖδες ταχὺ παθεῖν τε εὔκολοι καὶ ἀπαλλαγῆναι ῥηΐτεροι· ἀκμάζοντες οὐ πάγχυ μὲν παθεῖν ἑτοῖμοι, οὐ πάμπαν δὲ ἀπαλλαγῆναι εὔκολοι. ὥρη δὲ οὐ μία φέρει τόδε, οὐδὲ ἐς μίαν τελευτᾷ· ἀλλὰ φθινόπωρον μὲν κύει, χειμὼν τιθηνεῖ, ἔαρ [δὲ] ἐς κορυφὴν τελεσφορεῖ, θέρος δὲ κτείνει. ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ ΚΑΙ ΣΗΜΕΙΩΝ ΧΡΟΝΙΩΝ ΠΑΘΩΝ ΒΙΒΛΙΟΝ Β.

2.1.1 Περὶ ὕδρωπος. Ὕδρωψ ἀτερπὲς μὲν ἐσιδεῖν πάθος, χαλεπὸν δὲ καὶ παθεῖν. διαδιδρήσκουσι γὰρ τόδε πάγχυ παῦροι ὑπ' εὐτυχίης καὶ θεῶν μᾶλλον ἢ τέχνης· τὰ γὰρ μέζονα πάντα ἰῶνται μοῦνοι θεοί. ἢ γὰρ ἐν σπλάγχνῳ καιρίῳ νόσημα φωλεῦσαν ἔτρεψε ἐς καχεξίην τὸ πᾶν, ἢ τὸ ξύμπαν σκῆνος λοιμοῦ κατάρξαντος ἐς κακοχυμίην ἤμειψε τὰ σπλάγχνα· εὖτε ἀλλήλοισι ἄμφω ἐς τὸ κακὸν ξυντιμωρέει, ἀσινὲς δὲ οὐδέν, ἐξ οὗπερ καὶ σμικρὴ τῇ φύσει γίγνοιτ' ἂν ἐπικουρίη.

2.1.2 ἔστι δὲ ἐς ἐπομβρίην ῥεῦμα ψυχρόν, παχύ, ὁκοῖον ἡ ὀμίχλη τῷ παντί· ἢ τροπὴ ὑγρῆς καὶ ψυχρῆς αἰτίης ἐς τοιήνδε ἕξιν ἑτεροιούσης τὸν ἄνθρωπον. οὐ γὰρ τὸ ἐν τῇ κοιλίῃ τῇ κάτω ἁλιζόμενον ὑγρὸν ὕδρωπα καλέομεν, ἐπεὶ οὐδὲ τὸ πάθος τῇδέ ἐστι· ἀλλ' ὅτε ξυμπαρομαρτέει τῇ νούσῳ [ὁ] ὄγκος, [τὸ] οἶδος, ἀχροίη, ἠδὲ ἐς τὸ ὕδωρ ξυντήκουσα ἕξις, ὕδρωψ τέ ἐστι καὶ καλέεται. κἢν γὰρ ἐκραγῇ κοτε τὸ ὕδωρ αὐτομάτως ἔξω, ἢ ταμών τις τὸ ὑποχόνδριον ἐκχέῃ, ἐφ' ἕδρης ἔασι οἱ ὑδρωπιώδεες.

2.1.3 ἡ μὲν ὦν πρωτίστη αἰτίη καχεξίη. ἰδέαι δὲ πλεῦνες, [ἧς] ἀτὰρ οὔνομα ἕτερον καὶ ἕτερον. ἢν μὲν γὰρ ἡ παρέγχυσις ἔνυγρος ἐν τῇσι λαγόνεσι ἐμπλώῃ καὶ ὑπὸ τῆς πρήσιος ἐν τοῖσι πατάγοισι δονέῃ ὅκως τύμπανον, τυμπανίης κικλήσκεται. ἢν δὲ ὕδωρ ἅλις ἐς τὸ περιτόναιον ἐμπεριχέηται, ἐμπλώῃ δὲ τῷ ὑγρῷ τὰ ἔντερα, καλέομεν ἐπίκλησιν ἀσκίτην. ἢν δὲ αἱ λαγόνες μὲν μηδὲν τουτέων ἴσχωσι, τὸ πᾶν δὲ παροιδαίνῃ σκῆνος, ἢν μὲν ἐπὶ λευκῷ φλέγματι καὶ παχέϊ καὶ ψυχρῷ, φλεγματίης καλέεται· ἢν δὲ ἐς χυμὸν αἱμάλωπα, ὑδατώδεα, λεπτὸν συντακῶσι αἱ σάρκες, ἀνὰ σάρκα γίγνεται ὕδρωψ.

2.1.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακὴ μὲν ἡ ἑκάστου ξύστασις· [οὐ] κακίων δὲ πολλόν τι ἡ τῶνδε ἐπιμειξίη. τῶν [δε] γὰρ ἀμφὶ τὰς λαγόνας εἷς ἑνὶ τῶν ἀνὰ τὸ πᾶν ξυμβῇ γέ κοτε· χαλεπώτατος δέ, ἢν ὁ τυμπανίας τῷ ἀνὰ σάρκα μειχθῇ· καὶ γὰρ ἰδίῃ τοῦ μὲν ἀμφὶ τὰς λαγόνας ἀσκίτου τυμπανίας χερείων, τῶν δὲ ὅλου τοῦ σκήνεος ὁ λευκοφλεγματίας τοῦ ἀνὰ σάρκα μείων, ἐπιεικὴς μὲν ὤν, ἐν ἀνελπίστοισι, ἢν ὁ μείων ξυστῇ τῷ μείονι· κακίων δὲ ἢν εἷς τις τῶν μειόνων ἑνὶ τῶν μεζόνων ἐς τωὐτὸ ξυμβῇ· ἢν δὲ ἐς ἄκρας ἡ μεῖξις ἅμα ἵκηται δυοῖν μεγάλοιν, μέζον κακὸν τὸ ἔκγονον.

2.1.5 σημεῖα δὲ μέγιστα καὶ ῥήϊστα ἰδεῖν καὶ θιγέειν καὶ εἰσακοῦσαι· ἐπὶ μὲν τῷ ἀσκίτῃ ἰδέειν ὄγκον ἐν τῇσι λαγόσι, οἶδος ἀμφὶ τὼ πόδε· πρόσωπα δὲ καὶ βραχίονες καὶ τἆλλα ἰσχνά, οἰδέουσι ὄρχιές τε καὶ πόσθη, καὶ ὁ ξύμπας καυλὸς σκολιὸς ἐξ ἀνίσου τοῦ οἴδεος. θίγειν ἠδὲ ἐρείσαντά κῃ τὴν χεῖρα κατὰ λαγόνα εἰσωθεῖν· τὸ γὰρ ὑγρὸν ἐπὶ τὰ ἄλλα μέρεα μεταρρέει· ἀτὰρ καὶ ἐν τῇσι τοῦ ἀνθρώπου τῇδε ἢ τῇδε ἐπιστροφῇσι ἐς τὰς μετακλίσιας τὸ ὑγρὸν ὄγκον τε καὶ κλύδωνα ποιέει· ἐσακούειν δὲ καὶ τοῦ κλύδωνος. ἀλλὰ κἢν κῃ τὸν δάκτυλον ἐρείσῃς, ὁ χῶρος γίγνεται κοῖλος, ἐς χρόνον τε πουλὺν μίμνει κοῖλος. τάδε μὲν τὰ ἀσκίτου.

2.1.6 τυμπανίης δὲ πρὸς τῇ τοῦ ὄγκου θέῃ καὶ ἀκοῦσαι ἐστὶ δονέων. ἢν γὰρ πατάξῃς τῇ χειρί, τὸ ἐπιγάστριον δονέει, οὐδὲ μεταχωρέει τὸ πνεῦμα ἐν τῇσι ἐπιστροφῇσι· πνεῦμα γάρ, κἢν μετακλινθῇ τὸ ἀμπέχον ἄνω τε καὶ κάτω, ἴσον μένει. πάντῃ ἢν δὲ ἐς ὁμίχλην καὶ ὕδωρ τρέπηται τὸ πνεῦμα—καὶ [γὰρ] ἀσκίτης ἀπὸ τυμπανίου—, ἀμείβεται μέν, ἢν μὴ ἐς τέλος τραπῇ κοτε, ἡμιτελὴς μεταρρέων.

2.1.7 ὁ δὲ ἀνὰ σάρκα ἠδὲ τοῦ λευκοῦ φλέγματος τὰς μὲν λαγόνας ἴσχουσι κενεάς, οἰδαλέοι δ’ ἔασι καὶ τὰ πρόσωπα καὶ βραχίονας· ἀτὰρ ἠδὲ ὁκόσα τοῖσι ἄλλοισι κενεά, τοῖσδε γίγνεται πλήρεα. φλέγμα μὲν γὰρ λευκὸν ἐπὶ τῷ λευκοφλεγματίᾳ ξυνίσταται, ψυχρόν τε καὶ παχύ· τοῦδε ἐμπίπλαται τὸ πᾶν, οἰδαίνει δὲ τὸ πρόσωπον, αὐχήν τε καὶ βραχίονες· παχὺ δὲ τὸ ἐπιγάστριον ἀπὸ τοῦ οἴδεος· μαζοὶ δὲ ἐς ὄγκον αἴρονται, ὁκόσοι νέοι ἀκμὴν ὄντες ἐν εὐτυχίῃ τῆς ἡλικίης. ἐπὶ δὲ τῷ ἀνὰ σάρκα τηκεδὼν τῆς σαρκὸς ἐς χυμὸν σαρκοειδέα, ἰχώρ τε αἱμάλωπος, ὁκοῖος ῥέει ἐπ’ ἐντέρων ἕλκεσι· τοιόσδε καὶ ἐπὶ θλάσμασι ἀπὸ βάρεος ἐμπεσόντος, ἢν τάμῃς τι ἐπιπολῆς, ὁ χυμὸς ἐκρέει· ἡ δὲ τοῖν δυοῖν ἐπιμειξίη ἀμφοῖν ἴσχει τὰ σημήϊα.

2.1.8 ξύμπασι δὲ ὁμοῦ ξύνεστι, ὦχρος, δύσπνοια, βὴξ ἄλλοτε καὶ ἄλλοτε· νωθέες, ὄκνος πουλύς· ἀπόσιτοι, ἢν δέ τι προσαίρωνται, κἢν βραχὺ καὶ ἄφυσον, φυσώδεες, διατάσιες ὡς ἀπὸ πλησμονῆς· ἄνικμοι, διὸ οὐδὲ ἐπὶ λουτροῖσι ἰκμαλέοι· λευκοί, γυναικώδεες. οἱ δὲ ἀνὰ σάρκα, μελάγχλωροι, μελανόφλεβες· ἀσκίτῃσι μὲν καὶ τυμπανίῃσι ἐπιφανέες καὶ ἐν προσώπῳ καὶ καρποῖσι καὶ ἐπιγαστρίῳ. ἐπὶ δὲ τοῖσι ἀνὰ σάρκα καὶ τῷ φλεγματίῃ οἴδεϊ ἅπαντα κρύπτεται.

2.1.9 ὕπνοι βαρέες, νωθροί, σμικροί· ἀψυχίη, σμικρολογίη, φιλοζωΐη. καρτερίη, οὐκ ἀπὸ εὐθυμίης καὶ εὐελπιστίης ὅκως τοῖσι ἐν εὐτυχίῃ, ἀλλ’ ἐξ αὐτέου τοῦ πάθεος. οὔτε φατὸν τὴν αἰτίην θωμάσαι· τὸ δὲ μέγα. ἐπὶ μέν γε ἄλλοισι οὐ πάμπαν ὀλεθρίοισι οἱ νοσέοντες ἄθυμοι, κατηφέες, ἐράται τοῦ θανάτου· ἐπὶ δὲ τοῖσι εὐέλπιδες καὶ φιλόζωοι γίγνονται. ἄμφω δὲ τὰ ἐναντία τίκτουσι αἱ νοῦσοι.

2.1.10 γίγνεται ὕδρωψ καὶ ἐξαπίνης κοτὲ ἐπ’ ἀθρόῃ ψυχροποσίῃ, ἢν ὑπὸ δίψιος χανδὸν πουλὺ ψυχρὸν ἐγχέῃ ὕδωρ, εἶτα τὸ ὑγρὸν ἐς 〈τὸ〉 περιτόναιον ἐνεχθῇ· δι’ ἃ [δὲ] 〈ἐν〉 τῇσι κοιλίῃσι τὸ ἔμφυτον θερμὸν κατεψύχθη, ἔπειτα ἐς τοὺς κενεῶνας σταγόνες ἐκρέουσι, αἳ πρόσθεν ἐς διαπνοὴν ἐξηερούμεναι διεφοροῦντο. τόδε ὦν εἰ γίγνεται, ῥηϊτέρη ἡ τῶνδε ἴησις, πρίν τι τῶν σπλάγχνων ἢ ὅλον τὸν ἄνθρωπον παθεῖν. ἀτὰρ ἠδὲ ἔδεσμα φυσῶδες καὶ ἀπεψίη καὶ βούπρηστις ἔτεκον ὕδρωπας.

2.1.11 ἔστι δὲ ξυνὸν πάντων τὸ κακόν, ἀνδρῶν, γυναικῶν, ἡλικίης πάσης, 〈πλὴν〉 ὁκόσον ἄλλοι ἐς ἄλλο εἶδος ἔασι ὡραῖοι· ἀνὰ σάρκα παῖδες ἠδὲ τοῦ λευκοῦ φλέγματος. νέοι δὲ μέχρι ἀκμῆς, οἳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ λαγόνας πλήσμιοι. γέροντες μὲν πάντα παθέειν ἑτοῖμοι, ἀπόθερμοι· ψυχρὸν γὰρ τὸ γῆρας· ἀλλ' ἐς ὑγροῦ πλῆθος ἔασι ἀναίτιοι. τοῖσδε ὧν τυμπανίης ξυνήθης.

2.1.12 ἅπαντα μὲν ὧν πονηρὰ τὰ εἴδεα· τουτέστι ὕδρωψ γὰρ πάντων τῶν νοσημάτων κακόν· ἀλλὰ τουτέων λευκοφλεγματίης μὲν εὐηθέστερος· πολλὴ γὰρ καὶ ποικίλη ἐπὶ τοῦδε ἡ εὐτυχίη ἱδρῶτος ἢ οὔρων, ἢ κοιλίη κοτὲ ἐπ' αὐτέων κατερράγη, λυομένης ἤδη τῆς τοῦ ὕδρωπος ἕξιος. χαλεπὸς δὲ τυμπανίης καὶ τοῦδε ὁ ἀνὰ σάρκα μᾶλλον· τὸν δὲ ἰητρὸν ἐν τῷδε τῷ πάθεϊ ὅλον χρὴ τὸν ἄνθρωπον ἀλλάξαι· τόδε μέντοι οὐδὲ θεοῖσι ῥηΐτερον.

2.1.13 ὑδεριῇ δὲ καὶ ἐν σμικρῷ κοτε ἄνθρωπος, ἢ κεφαλὴν ἐπὶ ὑδροκεφάλῳ, ἢ πνεύμονα μοῦνον, ἢ ἧπαρ, ἢ σπλῆνα, καὶ ἐπὶ γυναικῶν ὑστέρη, καὶ τῶν ἄλλων ἥδε εὐαλθεστέρη. ἢν γὰρ τὸ στόμιον ἀνῇ ἐκ τῆς πρόσθεν μύσιος, ὑγρὸν μέν, εἰ ἔχοι, ἐκχέει ἔξω· ἢν δὲ πνεῦμα, ἐξεφυσήθη τόδε· ἢν δέ τι ἀνὰ σάρκα ἡ ὑστέρη πάθῃ, ὡς ἐπίπαν ὅλη ἡ ἄνθρωπος ὑδεριᾷ.

2.1.14 ἰδέη τις ἑτέρη ὕδρωπος ἥδε γιγνώσκεται· κύστιες σμικραί, συχναί, πλήρεες ὑγροῦ ἐγκέονται τῷ χωρίῳ ἔνθα ὁ ἀσκίτης ξυνίσταται· ἀτὰρ ἐμπλέουσι τῷ πολλῷ ὑγρῷ· τέκμαρ δέ· ἢν γὰρ τετρήνας τὸ ἐπιγάστριον ἐκχέῃς, ἐπὶ βραχείῃ φορῇ τοῦ ὑγροῦ ἔνδοθεν ἂν ἐπέφραξεν ἡ κύστις· κἢν τὸ ὄργανον διώσῃ, αὖθις ἐκρέει. τόδε μέντοι τὸ εἶδος οὐκ εὔηθες· πόθεν γὰρ ἂν ἐκπέσωσι αἱ κύστιες, ὁδὸς οὐκ εὔπορος.

2.1.15 λόγος δὲ μετεξετέροισι, ὅτι ἧκόν κοτε δι' ἐντέρων τοιαίδε κύστιες· ἐγὼ δὲ οὐκ ὄπωπα, διὰ τόδε οὐδὲ νῦν γράφω· οὐδὲ γὰρ περὶ αὐτέων ὅ τι λέξω 〈ἔχω〉. εἴτε γὰρ ἐκ τοῦ κώλου ἢ τῆς γαστρὸς ἡ φορή, τίς ὁ τρόπος τῆς ξυστάσιος; ὁδὸς γὰρ ἐς ἔξοδον ἁπάντων δι' ἕδρης εὐρόης· ἠδὲ αὐτοῦ τοῦ ὑγροῦ τῆς ἐν λαγόνι ξυλλογῆς, ἄπιστος ἡ τῶν ἐντέρων ῥαγή· οὐ γὰρ ἀσινὲς οὐδὲ ἀνώλεθρον τρωθὲν ἔντερον. Περὶ διαβήτεω.

2.2.1 Θῶμα τὸ διαβήτεω πάθος, οὐ κάρτα ξύνηθες ἀνθρώποισι· σαρκῶν καὶ μελέων ἐς οὖρον ἡ ξύντηξις. ὑγρὴ καὶ ψυχρή, ὅκως ἐν ὕδρωψι, αἰτίη. ὁδὸς δὲ ἡ ξυνήθης, νεφροί τε καὶ κύστις. οὐ γὰρ διαλείπουσι οὐρέοντες, ἀλλὰ ὅκωσπερ ἐξ ἀφέσιος ὀχετῶν ἄπαυστος ἡ φορή. χρονίη μὲν ἡ τῆς νούσου φυή, μακρῷ κυΐσκεται χρόνῳ. βραχύβιος δὲ ὥνθρωπος, ἢν ἡ κατάστασις τελεσθῇ· ὀξείη γὰρ ἡ τηκεδών, ταχὺς δὲ ὁ θάνατος, ποτὶ καὶ βίος αἰσχρὸς καὶ σπίπονος. δίψος ἀκρατές, πολυποσίη ἀνισόμετρος οὔροισι πολλοῖσι· πλεῖον γὰρ ἐκρεῖ τὸ οὖρον. καὶ οὐκ ἂν ἐπίσχοι τις αὐτέους οὔτε πίνοντας οὔτε οὐρέοντας. ἢν δὲ ἐπ' ἀκαρὲς ἀντίσχωσι, ἢν μὲν τοῦ πιεῖν, ἄνικμοι μὲν τὸ στόμα, αὐαλέοι δὲ τὸ σκῆνος, τὰ δὲ σπλάγχνα καίεσθαι δοκέουσι· ἀσώδεες, ἄποροι, οὐκ ἐς μακρὸν θνῄσκουσι· πυριφλεγέες δίψαι.

2.2.2 ἀπουρέειν δὲ τίς ἂν ἐπίσχοι τρόπος, ἢ τίς αἰσχύνη πόνου κρέσσων; —ἀλλὰ κἢν ἐς σμικρὸν ἐγκρατέες γένωνται, παροιδέουσι ὀσφύν, ὄρχιας καὶ ἰσχία· κἢν ἀνῶσι, ἐκχέουσι μὲν τὸ οὖρον ἀλέᾳ, τὰ δὲ ἐποιδέοντα ἐξαείρεται· ξυνδίδοται γὰρ ἐς κύστιν ἡ πλημύρα.

2.2.3 κἢν μὲν τελεσθῇ τὸ κακόν, εὔσημον· ἐπὴν δὲ μέλλῃ, ἄνικμοι τὸ στόμα· σίελος λευκός, ἀφρώδης, ὅκως ἀπὸ δίψεος, καὶ οὐδέκω δίψος· ὑποχονδρίων βάρος· αἴσθησις ἀπὸ τῆς γαστρὸς ἐς κύστιν θέρμης, ἢ ψύξιος, ὅκως πρόσω ὁδοιπορέοντος τοῦ νοσήματος· ἀτὰρ ἠδὲ οὐρέουσι τοῦ ξυνήθεος σμικρόν τι μᾶλλον· δίψος τε, ἀλλ' οὐδέκω μέγα.

2.2.4 ἢν δὲ ἐπὶ μᾶλλον αὔξηται, θέρμανσις σμικρὴ μέν, δακνώδης δέ, ἐνίζουσα τοῖσι σπλάγχνοισι· ἐπιγάστριον ῥυσοί, ἐπίφλεβοι, ἰσχνοὶ δὲ τὴν ὅλην ἕξιν, εὖτε καὶ ἡ οὔρησις καὶ τὸ δίψος ἐπαυξέα γίγνεται ἤδη κοτέ· κἢν ἐς ἄκρον τὸν καυλὸν ἡ ξυναίσθησις φανῇ, εὐθὺς οὐρέουσι. τῇδέ μοι δοκέει καλέεσθαι διαβήτης ἐπίκλησιν, ὁκοῖόν τι διαβήτης ἐών, οὕνεκεν ἐν τῷ σκήνεϊ τὸ ὑγρὸν οὐ μίμνει, ἀλλ' ὅκως διαβάθρῃ τῷ ἀνθρώπῳ ἐς ἔξοδον χρέεται. διαρκέουσι δὲ ἐς χρόνον τινά, εἰ καὶ μὴ κάρτα πολλόν, ὅτι πονῶντες οὐρέουσι, τηκεδὼν δὲ γίγνεται δεινή· οὔτε γάρ τι ἐκ τῆς πόσιος μέγα ἐς τὸ σκῆνος ἔρχεται καὶ ξυναπέρχεται τῶν σαρκῶν ἐς τὰ οὖρα μυρία.

2.2.5 αἰτίη δέ, ὀξέων νούσων τις ἀπέσκηψεν ἐς τόδε καὶ ἐν κρίσει κρύβδην τὸ κακόηθες ἐγκατέλιπον αἱ νοῦσοι. οὐκ ἀδόκητον καὶ δηλητήριόν κοτε τήνδε τὴν αἰτίην ἴσχειν, τῶν ὁκόσα κύστει καὶ νεφροῖσι ἐνσκήπτει. ἀτὰρ εἰ ἐδάκη τις ὑπὸ τῆς διψάδος, τοιήδε τοῦ ἕλκεος ἡ πάθη· διψὰς δὲ τὸ ἑρπετὸν θηρίον, ἢν δάκῃ τινά, ἄσχετον δίψος ἐξάπτει, πίνουσί τε ἄδην οὐκ ἐς δίψεος ἄκος, ἀλλ' ἐς τὴν τῆς κοιλίης πλημύραν ἀκορίῃ ποτοῦ. ἢν δὲ ἄλγεϊ τῆς περιτάσιος τῆς κοιλίης καὶ ἄχθεϊ [καὶ] τὸ ὑγρὸν ἐπίσχῃς ἐς σμικρόν, αὖθις ἄδην πίνουσι διψῶντες, καὶ ἥδε τῶν κακῶν ἡ ἀμοιβή· συντιμωρέει γὰρ ἀλλήλοισι δίψος καὶ ποτόν.

2.2.6 ἀλλ' οἵδε οὐκ οὐρέουσι, οὐδέ τις ἄλλη τοῦ πινομένου διαπνοή. τοιγαροῦν ἀκορίῃ μὲν τοῦ ποτοῦ, πλημύρῃ δὲ ὑγροῦ, περιτάσει δὲ τῆς κοιλίης, ἐξερράγησαν ἀθρόον. Περὶ τῶν κατὰ τοὺς νεφροὺς παθῶν.

2.3.1 Νεφροὶ τὴν φυὴν μὲν ἀδενώδεες, χροιὴν δὲ ἐρυθρότεροι, ὁκοῖόν τι ἧπαρ, μᾶλλον ἢ μαζοὶ καὶ ὄρχιες (καὶ γὰρ καὶ οἵδε ἀδένες, ἀλλὰ λευκότεροι)· σχῆμα δὲ διδύμοισι ἴκελοι, πλατέες μᾶλλον ἑστᾶσι ἅμα καὶ καμπύλοι. κοιλίαι δὲ σμικραὶ ἠθμοειδέες ἐς τὴν τῶν οὔρων διήθησιν. ἐκπεφύκασι δὲ ὀχετοὶ νευρώδεες, ὁκοῖόν τι αὐλοί, ἀφ' ἑκατέρου· ἐμπεφύκασι δὲ οἵδε τοῖσι ὤμοισι τῆς κύστιος ἑκάτερθεν. ἴση δὲ τῶν οὔρων ἀπὸ νεφρῶν ἡ ὁδὸς ἐς κύστιν.

2.3.2 ἀμφὶ δὲ τούσδε τοὺς νεφροὺς καὶ τοὺς πόρους τούσδε πολλὰ καὶ ποικίλα γίγνεται πάθεα, τὰ μὲν ὀξέα, ἐν αἱμορραγίῃ καὶ πυρετοῖσι καὶ φλεγμονῇ κτείνοντα, ὁκόσα μοι λέλεκται· τὰ δὲ χρόνια, τηκεδόνι λύοντα τὸν ἄνθρωπον, ἀνώλεθρα μέν, ἀναλθέα δὲ καὶ ξυναποθνήσκοντα. χρόνια ὧν ἀποστάσιες, ἕλκεα, λίθων γέννα, αἱμορροΐδες. ἕλκεα μὲν ἐξ ἀποστάσιος, μήκιστα καὶ δυσαλθέα πάντα τοῦ ἀνθρώπου. τῶν λίθων δὲ χρονίη μὲν ἡ γέννα· ὀδυνώδεες σφηνώσιες.

2.3.3 οὐ γὰρ ῥηΐστη ἡ διέξοδος· χαλεπὴ δὲ οἱ πρὸς τοῖσι καὶ ἡ τῶν οὔρων ἐπίσχεσις. ἀλλ' εἰ εἰσὶ πολλοὶ σμικροί, ἀλληλουχίῃ μίμνουσι· ἢν 〈δὲ〉 εἷς μέγας ἐμφραχθῇ καὶ ἐπ' ἀμφοῖν τοῖν νεφροῖν ξυμβῇ τάδε, ἐς οὔρων ἐπίσχεσιν καὶ διάτασιν, ὀλιγήμεροι θνήσκουσι. εὖ γε μέντοι ἡ φύσις ἐπιμήκεα καὶ ἰσομεγέθεα τοῖσι οὐρητῆρσι τὴν κοιλίην τῶν νεφρῶν τεύξασα, σμικροῖς ἄρα μέζονα, ὅκως ἄν, ἢν ἄνω ξυστῇ λίθος, ῥηΐστην ὁδὸν τὴν ἐς κύστιν ἴσχῃ.

2.3.4 διὰ τόδε καὶ ἐπιμήκεες οἱ λίθοι γίγνονται· πρὸς γὰρ τοῖσι οὐρητῆρσι τὰ πολλὰ πήγνυνται. καὶ ὁκόσοι τῇδε ἐς πάχος ἄνισοι, λεπτοὶ μὲν ἔασι τὰ πρόσω διὰ τοὺς οὐρητῆρας στεινοτέρους ἐόντας· παχέες δὲ 〈τὰ ὀπίσω〉 διὰ τὸ τοὺς νεφροὺς κάτω ῥεῖν. ἐγγίγνονται δὲ τοῖσι νεφροῖσι μοῦνον, ἀλλὰ τοῖσι διαπύροισι· οὐδὲ ἕδρην γὰρ ἐν τοῖσι οὐρητῆρσι [οὐκ] ἴσχουσι οἱ λίθοι, ἀλλὰ τὰ ψαμμία ξὺν τοῖσι οὔροισι κάτω διαπλέει, τάπερ καὶ σημήϊα καὶ ὕλη τοῦ πάθεος γίγνεται.

2.3.5 ἢν δὲ ἐμφραχθῇ κοτε τῇ κοιλίῃ μέζων τελεσθείς, πόνοι τῆς ὀσφύος ἀμφὶ τὰς ψόας μέσφι τῶν μέσων πλευρέων. πολλοῖσι γοῦν ἀπάτη πόνου, ὡς ἀπὸ πλευρίτιδος· βάρος ἰσχίου· κατὰ ῥάχιν δυσκαμπέες, ξυννεῦσαι χαλεπῶς· ἐπώδυνοι στρόφοι, βαρέες, ἀνείλυστοι· τὸ γὰρ ἑλικοειδὲς ἔντερον. ἢν καὶ πλημυρῇ τὸ οὖρον, καὶ διατάσιες· προθυμίη ἀπουρήσιος ὅκωσπερ ὠδίνων. φυσώδεες, ἀδιέξοδοι δὲ αἱ φῦσαι· πυρετοὶ δακνώδεες, ἐπίξηροι· αὐαλέη μὲν γλῶσσα, ξηρὴ δὲ ἡ κοιλίη· ἰσχνοί, ἀπόσιτοι· κἤν τι προσαίρωνται, οὔτε πέψαι οὔτε ἀναλαβεῖν ῥηΐδιοι. ἢν δὲ ἐς τὸν οὐρητῆρα ὁ λίθος ἐμπέσῃ, βρασμὸς ὡς ἀπὸ ῥίγεος, αἴσθησις τοῦ λίθου ὁδοιπορέοντος ξυνῷ ὁμοβιαίῳ.

2.3.6 κἢν ἐς τὴν κύστιν ἐμπέσῃ, οὔρων ἅλις ὑδατωδέων ἔκχυσις, κοιλίης ἔξοδοι, φῦσαι, φυσώδεες, στομάχου κατάστασις, ἐρεύξιες, ἀνάπαυσις τῶν πρόσθεν κακῶν· προσεχύθη κοτὲ καὶ πρὸ τῶν οὔρων αἷμα, ἀναδορῇ τοῦ πόρου. ἀγωνίη δὲ δευτέρη τοῦ λίθου ἡ διὰ τοῦ καυλοῦ διέξοδος. ἢν γὰρ μέζων τῆς οὐρήθρης ἔῃ, ἐνίσχεται πολλὸν χρόνον, καὶ πλημυρεῖ ἡ κύστις, καὶ ἰσχουρίη νῦν ἐπαλγεστέρη· ξὺν γὰρ τῇδε καὶ οὐρητῆρες πίμπρανται. χαλεπωτάτη δὲ ἡ τῶν σκολιῶν ἔξοδος·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γὰρ ἀγκιστροειδέας ὄπωπα, καὶ ἐπὶ τοῖς πόροις ἐπιπωρώσιας. ἐπιμήκεες δὲ τὰ πολλὰ διαπλασσόμενοι ὑπὸ τῆς τῶν πόρων ἴξιος.

2.3.7 χροιῇ δὲ ἄλλοι μὲν λευκοί, ἀργιλώδεες, τὰ πολλὰ παιδίοισι· ἄλλοι δὲ ξανθοί, κροκοειδέες, γέρουσι δὲ οἷσιπερ καὶ ἐν νεφροῖσι οἱ λίθοι ξυνήθεες· ἐν κύστει γὰρ παιδίοισι μᾶλλον. διτταὶ δὲ αἱ αἰτίαι τῆς πήξιος· γέρουσι μὲν τὸ σῶμα ψυχρόν, παχὺ τὸ αἷμα· ψυχρὸν δὲ τὰ παχέα θᾶσσον πήγνυσι· τέκμαρ δέ, τῶν ὑδάτων τῶν θερμῶν φύσει αἱ πηγαί· ἀποψυχθέντα γὰρ ἐς πωροειδέα λίθον πήγνυται. παιδίοισι δὲ πολλὸν ὑπὸ τοῦ αἵματος τὸ ἰλυῶδες ἑψηθὲν γενέσιος ὅκως περ τὴν ἕδρην ἴσχει.

2.3.8 λίθων μὲν ὦν ἀμφὶ γενέσιος τοιάδε πάθη. μετεξέτεροι ἐν περιόδοισι οὐρέουσι αἷμα· τοῖσι ἀπὸ αἱμορροΐδων ἰκέλη ἥδε ἡ ξυμμορφή, ὁμοίη δὲ καὶ ἡ τοῦ σκήνεος κατάστασις· ἔξωχροι, νωθροί, ἄπρηκτοι, ἀπόσιτοι, ἄπεπτοι. κὴν μὲν ἐκκριθῇ, ἔκλυτοι, πάρετοι τὰ μέλεα· κεφαλὴν δὲ κοῦφοι καὶ ἐλαφρότεροι. ἢν δὲ ἐς τὴν περίοδον μηδὲν ἐκρυῇ, κεφαλαλγέες, ἀμαυροὶ τὰς ὄψιας, σκοτώδεες, ἀμφιδινεύμενοι· ἐντεῦθεν ἐπίληπτοι μυρίοι. ἄλλοι οἰδαλέοι, ἀπαχλυούμενοι, ὑδρωπιώδεες· ἄλλοι δὲ μελαγχολώδεες ἢ παράλυτοι. ἐπισχέσιος γὰρ αἱμορροίης ξυνήθεος ἀπότοκα τάδε.

2.3.9 ἢν μὲν ὦν [ἀπὸ νεφρῶν] ἐκρέῃ τὸ αἷμα καθαρόν, ἀμιγὲς οὔροισι, τὰ πολλὰ ἐκρέει ἀπὸ κύστιος [τῶν οὔρων τὸ αἷμα]. φέρεταί κοτε καὶ ἀπὸ ῥήξιος τῶν νεφρῶν πουλὺ ἀθρόον, ἀτὰρ ἠδὲ πάγον ἴσχει καὶ γίγνονται θρόμβοι ὡς ἔξω χυθέν· ἐπάγη κοτὲ καὶ ἐν κύστει, εὖτε ἰσχουρίη γίγνεται δεινή. ἐπὶ δὲ τῇ ῥαγῇ ἕλκεα ξυμβαίνει χρόνια καὶ δυσαλθέα. τέκμαρ δὲ ἐφελκὶς ἢ ὑμένιον, εὖτε ἀράχνιον, ἐρυθρὸν ἐκκριθέν· ἢ πῦον λευκὸν οὐρηθέν, ἄλλοτε μὲν καθαρόν, ἀμιγές, ἄλλοτε δὲ οὔροισι ξυμμεμειγμένον.

2.3.10 τοῖσδε χρὴ καὶ ἀποστάσιας διαγιγνώσκειν· ἢν προσγένωνται πυρετοὶ ἐς ἑσπέρην καὶ ῥίγεα, πόνοι ἀμφὶ τὴν ὀσφύν, κνησμοί· ἢν δὲ [καὶ] ἐκραγῇ, θρόμβοι πυώδεες, σαρκοειδέες, ἀτὰρ ἠδὲ λευκοῦ πύου ἀπόστασις. τὰ δὲ ἕλκεα δακνώδεα, ἄλλοτε μὲν καθαιρόμενα, ἄλλοτε δὲ ῥυπαρὰ ὄντα. δηλοῖ δὲ τὸ πῦον, ἀτὰρ ἠδὲ οὖρα κάκοδμα ἢ ἄνο- σμα. ἔαρ μὲν ὦν αἱμορραγίας τίκτει καὶ ἀποστάσιας· χειμὼν δὲ καὶ φθινόπωρον λίθους· ἢν δὲ ἐπὶ λίθοισι ἕλκεα γένηται, ἀναλθέες μὲν αἱ νοῦσοι, ταχείη 〈δὲ〉 τηκεδὼν καὶ θάνατος. Περὶ τῶν ἐν κύστει.

2.4.1 Τῶν ἐν τῇ κύστει νούσων οὐδὲν εὔηθες. τὰ μὲν ὀξέα φλεγμασίῃ καὶ τρώμασι, σπασμῷ καὶ πυρετοῖσι ὀξέσι κτείνοντα· ἕλκος δὲ καὶ ἀποστάσιες, ἢ παράλυσις, ἢ λίθος μέγας μέν, ἀναλθὴς δέ. οὔτε γὰρ θρύπτεται, ἢ πόσει, ἢ φαρμάκῳ, †ἢ ἀμφιθρύπτῳ, οὔτε ἀσινέως τέμνεται· χρὴ γὰρ καὶ τὰ λεπτὰ τῆς κύστιος ξυντάμνειν, τὸ δὲ αὐτῆμαρ ἔκτεινε, ἢ ὀλίγαις ἡμέρῃσι σπασμοῖσι καὶ πυρετοῖσι θνῄσκουσι. ἢν δὲ μὴ τάμῃς, οὔρων σχέσει καὶ πόνοισι καὶ πυρετοῖσι ἢ τηκεδόνι σμύχεται ὤνθρωπος.

2.4.2 ἢν δὲ μὴ κάρτα μέγας ὁ λίθος ἔῃ, σχέσιες μὲν οὔρων ξυνεχέστεραι· ἐς γὰρ τὸν αὐχένα ῥηϊδίως ἐμπίπτων ἀποέργει οὔρων ἔξοδον. τάμνειν δέ, εἰ καὶ τῶν μεζόνων ἀσφαλέστεροι, ἀλλὰ τέμνεται κύστις, κὴν τις τὸν [τοῦ] θανάτου κίνδυνον ἐκφύγῃ, ῥοάδος γίγνεταί οἱ πάθος· κὴν ἀκίνδυνον ἔῃ, ἀλλ᾽ οὐ φορητὸν ἐλευθέροισι ἀένναον ἐκρέειν οὖρον, κὴν βαδίζῃ, κὴν εὕδῃ, ἀτερπὲς δὲ ἢν βαδίζῃ.

2.4.3 οἱ δὲ κάρτα σμικροὶ τὰ πολλὰ τάμνονται ἀσινέως. ἢν δὲ ξυμπεφύκῃ τῇ κύστει λίθος, διάδηλος μὲν τῇσι μελεδόσι, ἀτὰρ οὐδὲ ἀσινεῖς πόνοισι καὶ βάρεϊ, κὴν ἂν ᾖ δυσουρίης ἄτερ· ἢν δὲ μή, καὶ δυσουρέει. ξύμπαντας δὲ τοὺς λίθους διαγνοίης ἂν τῇσι τῶν ψαμμίων ἐν τοῖσι οὔροισι ὑποστάσεσι· ἀτὰρ ἠδὲ πρόκωποι τὰ αἰδοῖα γίγνονται, εὖτε γὰρ ἀπουρέουσι †κὴν ὕπεστι καὶ ὁ λίθος, ὀδυνέονται καὶ ἀμφαφόωσι καὶ ἕλκουσι τὰ αἰδοῖα, ὅκως τὸν λίθον ξὺν τῇ κύστει ἐξαιρεύμενοι. ξυμπαθεῖ δὲ καὶ ἕδρη κνησμώδης γιγνομένη· προπετὴς δὲ καὶ ἀρχὸς βίῃ καὶ

ἐντάσεσι φαντασίῃ, ἐκκρίσει δὲ ὡς δῆθεν τοῦ λίθου· ἄμφω γὰρ ξυγκέονται ἀλλήλοισι ἕδρη τε καὶ κύστις, ὧν ἑκατέρου ** διὰ τόδε καὶ ἐπὶ φλεγμασίῃ ἀρχοῦ, ἰσχουρέει κύστις καὶ ἐπὶ τῇσι τῆς κύστιος ἀκίσι οὐ διΐησι ἕδρη, κἢν μὴ ἐπίξηρος ἡ γα- στὴρ ἔῃ.

2.4.4 τοῖα μὲν ἄλγεα τὰ λίθων.

2.4.5 αἱμορραγίη δὲ κἢν μὴ κάρτα ὀξέως κτείνῃ, χρόνῳ δὲ ἐξέλυσε μυρίους. οἱ δὲ ἀπ' αὐτέης θρόμβοι, ἰσχουρίῃ ὀξέως ὀλέθριοι, ὅκωσπερ οἱ λίθοι· καὶ γὰρ ἢν τὸ αἷμα λεπτόν τε καὶ ξανθὸν καὶ μὴ πάγχυ ᾖ εὐπαγές, ἀλλ' ἡ κύστις ἐς πολλὸν ἁλίζει χρόνον, καὶ ἥδε θερμαίνουσα καὶ ἑψοῦσα πηγνύει, καὶ ὧδε γίγνεται θρόμβος. ἰσχουρίη μὲν ὧν δυνατωτάτη κτεῖναι· προσεπιγίγνεται δὲ τουτέοισι ἄλγος ὀξύ, πῦρ δριμύ, γλῶσσα ξηρή, καὶ ἐπὶ τοῖσδε παράφοροι θνῄσκουσι.

2.4.6 ἢν δὲ ἐπὶ τρώματι ἄλγος ἐκφανῇ, τρῶμα μὲν ὀλέθριον· τὸ δὲ ἕλκος κἢν μὴ ἀρχῆθεν κτείνῃ, πυρετοῖσι ἢ φλεγμονῇ ἀνήκεστον γίγνεται· λεπτὴ μὲν τὸ πάχος κύστις, νεῦρον δὲ [ὡς] τὴν φυήν, τάπερ οὐδὲ σαρκοῦται οὔτε ῥηϊδίως ἐπωτειλοῦται. ποτὶ καὶ τὸ οὖρον χολῶδες, δριμύ, δακνῶδες τοῦ ἕλκεος, ἡ ξυνὴ δίαιτα· ἠδὲ ἐν μὲν τῇσι πληρώσεσι διατέταται, ἢν δὲ κενωθῇ, ξυνίζει. πάσχει ὧν ἄρθρου πάθεϊ ἐν ἐκτάσει τε καὶ κάμψει· ἄρθρῳ δὲ οὐκ εὐαλθὲς ἕλκος οὐδέν.

2.4.7 καὶ ἔμπυος δὲ ἐξ ἀποστάσιος γίγνεται· κύστιος σημήϊα, τάπερ ἐπ' ἄλλοισι μὲν ἐπὶ φλέγμασι. εἰ γὰρ καὶ ἐπὶ πυρετοῖσι καὶ ῥίγεσι ἡ ἀπόστασις, κίνδυνοι δὲ οἱ ωὐτοί· πῦον δὲ ἀλλ' εἰ παχύ, λευκόν, οὐ κάκοδμον ἐκδιδοῖ, εὐήθεα τὰ ἀπὸ τῶνδε ἕλκεα· ἢν δὲ ἐπινέμηται, τρυγώδεα, μυξοποιά, κάκοδμα οὐρέουσι.

2.4.8 τῶν τοιῶνδε οὐ βραδύνει θάνατος· δακνώδεα μὲν τὰ οὖρα, ὀδυνηρὰ δὲ ἡ πρόεσις αὐτῶν, διαΐσσει δὲ ἡ ὀδύνη μέσφι ἄκρου τοῦ καυλοῦ. βλάπτει δὲ αὐτέους πάντα καὶ τἀναντία, καὶ πλησμονὴ καὶ κένωσις, καὶ ἀργίη καὶ κίνησις, καὶ λουτρὰ καὶ ἀλουσίη, καὶ τροφὴ καὶ ἀτροφίη, καὶ γλυκέα καὶ ὀξέα, ἄλλων ἄλλα μὲν ὠφελεύντων, ἄλλα δὲ βλαπτόντων, ἐς ἓν ξυμβῆναι μὴ δυναμένων. Περὶ γονορροίης.

2.5.1 Ἀνώλεθρον μὲν ἡ γονόρροια, ἀτερπὲς δὲ καὶ ἀηδὲς μέσφι ἀκοῆς. ἢν γὰρ ἀκρασίη καὶ πάρεσις τὰ ὑγρὰ ἴσχῃ καὶ γόνιμα μέρεα, ὅκως δι' ἀψύχων ῥέει ἡ θορή, οὐδὲ ἐπισχεῖν ἔστι αὐτέην οὐδὲ ἐν ὕπνοισι· ἀλλὰ γὰρ ἤν τε εὕδῃ, ἤν τε ἐγρηγορέῃ, ἀνεπίσχετος ἡ φορή, ἀναίσθητος δὲ ἡ ῥοὴ τοῦ γούνου γίγνεται. νοσέουσι δὲ καὶ γυναῖκες τήνδε τὴν νοῦσον, ἀλλ' ἐπὶ κνησμοῖσι τῶν μορίων καὶ ἡδονῇ προχέεται τῇσι ἡ θορή, ἀτὰρ καὶ πρὸς ἄνδρας ὁμιλίῃ ἀναισχύντῳ· ἄνδρες δὲ οὐδ' ὅλως ὀδάξονται.

2.5.2 τὸ δὲ ῥέον ὑγρόν, λεπτόν, ψυχρόν, ἄχρουν, ἄγονον. κῶς γὰρ ζωογόνον ἐκπέμψαι 〈ἂν〉 σπέρμα ψυχρὴ οὖσα ἡ φύσις; ἢν δὲ καὶ νέοι πάσχωσι, γηραλέους χρὴ γενέσθαι πάντας τὴν ἕξιν, νωθώδεας, ἐκλύτους, ἀψύχους, ὀκνέοντας, κωφούς, ἀσθενέας, ῥικνούς, ἀπρήκτους, ἐπώχρους, λευκούς, γυναικώδεας, ἀποσίτους, ψυχρούς· μελέων βάρεα, καὶ νάρκας σκελέων· ἀκρατέας, καὶ ἐς πάντα παρέτους.

2.5.3 ἥδε ἡ νοῦ- σος ὁδὸς ἐς παράλυσιν πολλοῖσι γίγνεται. κῶς γὰρ οὐκ ἂν τῶν νεύρων ἤδη ἡ δύναμις πάθοι, τῆς ἐς ζωῆς γένεσιν φύσιος ἀπεψυγμένης; καὶ ἡμέας ἄνδρας ποιέει ζωοῦσα ἡ θορή, θερμούς, ἐνάρθρους, λασίους, εὐφώνους, εὐθύμους, κραταιοὺς νοῆσαί τε καὶ ῥέξαι· δηλοῦσι οἱ ἄνδρες. οἷσι δὲ οὐκ ἔνεστι ζωοῦσα ἡ θορή, ῥικνοί, ἀσθενέες, ὀξύφωνοι, ἄτριχες, ἀγένειοι, γυναικώδεες· δηλοῦσι οἱ εὐνοῦχοι.

2.5.4 ἢν δέ τις ἀνὴρ καὶ ἐγκρατὴς ἔῃ τῆς θορῆς, κραταιός, εὔτολμος, ἀλκήεις μέσφι θηρίων· τέκμαρ δὲ ἀθλητῶν οἱ σαόφρονες. καὶ γὰρ καὶ οἱ φύσει τινῶν κρέσσονες ὑπ' ἀκρασίης πολλὸν τῶν χειρόνων γίγνονται χερείονες· πολλὸν δὲ οἱ φύσει χερείους ὑπ' ἐγκρατίης γίγνονται κρεσσόνων κρέσσονες. ἀτὰρ οὐδὲ ζῶον ἐξ ἄλλου τευ γίγνεται κραταιὸν ἢ θορῆς. μέγα ὧν καὶ ἐς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑγείην, καὶ ἐς ἀλκήν, καὶ ἐς εὐψυχίην, καὶ ἐς γένεσιν ζωοῦσα ἡ θορή. ἀπὸ σατυριήσιος ἐς γονόρροιαν ἀπόσκηψις ἡ κατάστασις. Περὶ στομαχικῶν.

2.6.1 Στόμαχος ἡδονῆς καὶ ἀηδίης ἡγεμών· καρδίης καίριον γειτόνευμα ἐς τόνον καὶ θυμόν, ἢ ἀθυμίην, τῆς ψυχῆς ξυμπαθείῃ· ἥδε στομάχου πρώτιστα δύναμις. τάδε μὲν ὦν μοι ἄλλῃ λέλεκται. ἀπότοκοι ἡδονῆς μὲν εὐπεψίη, εὐσαρκίη, εὐχροίη τοῦ σώματος, ἀηδίης δὲ τουτέων τἀναντία, κοτὲ καὶ ἀθυμίη μὴ ἔχων τροφήν, μελαγχολώδεσι δὲ κἀποσιτίη.

2.6.2 ἢν ὦν ὅδε νοσέῃ, μῖσος καὶ ἀποστροφὴ τῶν γευμάτων, οὐκ ἢν προσαίρωνται μοῦνον, ἀλλὰ κἢν ἀθέητα μένῃ τὰ σιτία. ἀναπεμπάζονται δὲ ναυτίῃ ἢ ἀπορίῃ ἢ πλάδῳ ἢ καρδιαλγίῃ· καὶ σιαλοχόοι δέ, καὶ ἔμετοι ἐνίοις. κἢν ὁμῶς τὸ σῶμα τείρῃ, κἢν γα- στὴρ μείνῃ κενεή, τόνδε τὸν πόνον ῥηΐτερον φέρει τῆς προσάρσιος. ἢν δὲ καὶ ὑπ’ ἀνάγκης κοτὲ ἐς τὴν ἐδωδὴν ἴῃ, πολλὸν κακίων ὅδε 〈ὁ〉 πόνος τοῦ λιμοῦ ἐν τῷ στόματι λεῆναι ἄλγος, καταπιεῖν μέζων ὀδύνη.

2.6.3 ἀτὰρ καὶ οὐχὶ πρὸς μὲν τὰ οἰκεῖα τοιῶσδε, ἐς δὲ τὰ ἀλλόκοτα χρηστῶς· ἀλλαγὴ τῶν κατὰ φύσιν ἐς τὸ ἔμπαλιν· ἀχθηδὼν ἐς πάντα καὶ φυγὴ καὶ μῖσος σιτίων. ἐπὶ δὲ τοῖσι μεσηγὺ τῶν ὠμοπλατέων χωρίοισιν ἄλγος, πουλὺ δὲ [καὶ] μέζον, ἢν προσφέρωνται καὶ καταπίνωσι· ἄση, ἀπορίη, ὄψιες ἀμαυραί, ὤτων ἦχοι, βάρεα κεφαλῆς, νάρκη μελέων. καὶ τὰ γυῖα λύονται· παλμὸς ἐν τοῖσι ὑποχονδρίοισι· φαντασίη τῆς ῥάχιος ἐς τὼ σκέλεε κινευμένης. ἄλλοτε ἄλλῃ τῇδε κἀκεῖσε φέρεσθαι δοκέουσι, κἢν ἑστήκωσι, κἢν κατακέωνται, ὅκως ὑπὸ αὔρης ἀνέμων κάλαμοι, ἢ δένδρεα.

2.6.4 φλέγμα ψυχρόν, ὑδαρὲς ἀποβλύζουσι· ἐπὴν δὲ καὶ χολὴ ᾖ, πικρόχολοι, σκοτώδεες· ἄδιψοι, κἢν ἐπ’ ἐδέσμασι διψῆν δοκέωσι. ἄγρυπνοι, νωθροί, νυσταλέοι, οὐχ ὕπνῳ ἀτρεκέϊ, κωματώδεσι ὁμοιοπαθέες, ἰσχνοί, ἔξωχροι, ἀσθενέες, ἔκλυτοι, λειποδρανέες, ἄψυχοι, δειλοί, ἡσύχιοι, ἐξαπίνης δ’ ὀργίλοι· κάρτα μελαγχολώδεες, καὶ γὰρ ἐξώκειλάν κοτε ἐς μελαγχολίην οἱ τοιοίδε.

2.6.5 τάδε μέντοι τῆς ψυχῆς, τοῦ στομάχου ἐνδιδόντος, εἶναι δεῖ τὴν πάθην· οἱ δὲ δὴ ἄνθρωποι οὐκ εἰδότες τὰ ξυμπαθέα μέρεα, ἐφ’ οἷσι τὰ δεινότατα γίγνεται, τὸν στόμαχον αἴτιον ἡγεῦνται. μέγα δὲ ἐς πίστιν ὧν λέγω ἡ ξυνάφεια τῆς κραδίης, ἔνθα πάντων ἡ ἀρχή. μέσον γὰρ ἐνίζει τῷ πνεύμονι ἡ κραδίη, ἡ δὲ τούτων μεσότης τὸν στόμαχον ξυνάπτει, ἄμφω δὲ προσπεφύκασι τῇ ῥάχει. διὰ τόδε 〈τὸ〉 πρὸς τὴν κραδίην γειτόνημα, καὶ καρδιαλγίη, καὶ ἔκλυσις, καὶ τὰ μελαγχολώδεα.

2.6.6 αἰτίαι δὲ τῆς νούσου καὶ ἄλλαι μὲν μυρίαι· καιρίη δὲ πῦον συχνὸν ἀπὸ κοιλίης διὰ στομάχου χυθέν. ξύνηθες δὲ καὶ τοῖσι ὑπό τε ἀνάγκης ἐκδεδιητημένοις λεπτῇσι καὶ σκληροτέρῃσι διαίτῃσι, ἀτὰρ καὶ τοῖσι ἐς παιδείην πονεῦσι καὶ ἐς τήνδε τλήμοσι, οἷσι θείης μὲν μαθήσιος ποθή, ὀλιγοσιτίη δὲ καὶ ἀγρυπνίη, καὶ μελεδώνη λόγων τε καὶ πρηγμάτων σοφῶν. οἷσι ὑπεροψίη μὲν διαίτης ἁδρῆς καὶ ποικίλης, λιμὸς δὲ ἡ τροφή, καὶ ὕδωρ ποτόν, καὶ ἐν ὕπνῳ ἀϋπνίη· οἷσι μαλθακὴ μὲν εὐνὴ ἄστρωτος χαμαί, ἀμφίβλημα δὲ εὐτελές, ἀμπεχόνη ἀραιή, τὸ δὲ τοῦδε κράνος ὁ κοινὸς ἠήρ, πλοῦτος δὲ ἐννοίης θείης περιουσίης τε χρῆσις.

2.6.7 τάδε γὰρ αὐτέοισι ἀγαθὰ γίγνεται ἔρωτι παιδείης. καὶ εἰ προσαίρονται, εὐτελὲς μὲν σιτίον, οὐδὲ ἐς κόρον ἐδωδῆς, ἀλλ’ ἐς ζωὴν μοῦνον· οὐκ ἐπ’ οἴνῳ θώρηξις, οὐ θυμηδίη· οὐ ῥέμβος καὶ περίοδοι, οὐ σωμάτων ἄσκη- σις, οὐδὲ σαρκῶν περιβολή. τίνος γὰρ οὐκ ἂν ἀπάγοι παιδείης ἔρως; πατρίδος, τοκήων, κασιγνήτων, ἑωυτῶν μέσφι θανάτου.

2.6.8 τοῖσδε ὦν τηκεδὼν μὲν τοῦ σκήνεος· ἄχροοι καὶ ἐν νεότητι γηραλέοι καὶ ὑπ’ ἐννοίης κωφοί, ψυχὴν δὲ ἀμειδέες, ἀμείλιχοι· στομάχου δὲ κακοσιτίῃ ταχὺς ὁ κόρος τῆς ξυνήθεος, εὐτελέος καὶ ἑτοίμου τροφῆς, ἀηθείῃ δὲ ποικίλης ἐδωδῆς· ὄκνος δὲ πάντων γευμάτων. ἢν δὲ καὶ λάβωσί τι τῶν ξένων, βλάβη· ἀπόστροφοι εὐθὺς ἐς πάντα. ἥδε ἐστὶ στομάχου χρονίη νοῦ- σος· φλεγμοναὶ δὲ καὶ ῥεύματα, καὶ καρδιωγμός, ἢ πόνος, στομαχικὸν οὐ κικλήσκεται πάθος. θέρος

ἄγει τήνδε νοῦσον, ἔνθα καὶ πέψιος καὶ ὀρέξιος καὶ πάντων ἀδυναμίη. ἡλικίη δὲ γῆρας· οἷσι καὶ δίχα πάθεος διὰ τὸ τοῦ βίου τέλος καὶ ἡ ὄρεξις ἐς τέρμα ἥκει. Περὶ κοιλιακῆς διαθέσιος.

2.7.1 Κοιλίη, σπλάγχνον πεπτήριον, κάμνει τὴν πέψιν, ὁκότε διάρροια τὸν ἄνθρωπον ἴσχει. καὶ ἔστιν ὑγρῆς τροφῆς ἀπέπτου ἡ διάρροια· ἀλλ' ἢν μὴ ἐπὶ σχεδίου τῆς αἰτίης γίγνοιτο τόδε ἐς μίαν ἢ δευτέρην ἡμέρην μούνην, πρὸς δὲ καὶ ὅλος ὁ ἄνθρωπος ἀσθενέει ἀτροφίῃ τοῦ σκήνεος, χρονίη νοῦ- σος ἡ κοιλιακὴ γίγνεται, ἀτονίῃ τοῦ πέσσοντος θερμοῦ καὶ ψύξει τῆς κοιλίης· εὖτε λύεται μὲν ἐς θερμὸν ἡ τροφή, ἀλλ' οὐκ ἐκπέσσει θερμόν, οὐδὲ ἐς χυμὸν οἰκεῖον τρέπει, ἡμιτελέα δὲ λείπει ἀδρανείῃ τοῦ τέλεος· ἡ δὲ ἀφεθεῖσα τῆς ἐργασίης ἐς κακὸν ἀλλοιοῦται καὶ χροιῇ καὶ ὀδμῇ καὶ ξυστάσει.

2.7.2 λευκὴ μὲν γὰρ καὶ ἄχολος ἡ χροιή, κάκοδμα δὲ καὶ βορβορώδεα, ὑγρὴ δὲ καὶ ἀσύστατος ἀπραγίῃ, μοῦνον δὲ ἀρετὴν ἴσχουσα τῆς πέψιος τὴν ἀρχήν.

2.7.3 διὰ τόδε φυσώδεες [ἐς] τὴν γαστέρα· ἐρυγαὶ ξυνεχέες, κακώδεες, ἢν δὲ καὶ κάτω περήσωσι, τρύζει μὲν τὰ ἔντερα, φῦσαι δὲ διεξίασι δασεῖαι, ὑγραί, ἀργιλώδεες· φαντασίαι δὲ ἐπ' αὐτέοισι ὡς διεκθέοντος ὑγροῦ· πόνος τῆς κοιλίης βαρύς, ὁκοῖον νύγμα, ἄλλοτε καὶ ἄλλοτε. ἰσχνὸς δὲ καὶ ἄτροφος ὥνθρωπος, ὠχρός, ἀδρανής, οὐδέν τι πρῆξαι τῶν ξυνήθων εὔτονος· ἀλλὰ κὴν βαδίζῃ, λύεται τὰ μέλεα· φλέβες κροτάφων ἐπηρμέναι· ἀτροφίῃ γὰρ κοιλοκρόταφοι· ἐπίφλεβοι δὲ καὶ παντὶ τῷ σώματι. οὐ γὰρ οὐ πέσσει μοῦνον ἡ νοῦ- σος, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἐς τὸν ὄγκον ἀναδιδοῖ. δοκέει γάρ μοι οὐ τῆς πέψιος μοῦνον, ἀλλὰ καὶ τῆς ἀναφορῆς τὸ πάθος ἔμμεναι.

2.7.4 ἢν δὲ καὶ ἐπ' αὐξήσει ἡ νοῦ- σος γίγνηται, ἄγει καὶ τὰ ἀπὸ τοῦ παντὸς ἐς τὴν κοιλίην πάλιν, εὖτε ἤδη ἡ τηκεδὼν τῆς ἕξιος· αὐαλέοι δὲ τὸ στόμα, ἄνικμοι δὲ τὴν ἐπιπολήν, ἀνίδρωτες. κοιλίη ἄλλοτε πυριφλεγὴς ὡς ἀπ' ἄνθρακος, ἄλλοτε δὲ ὡς ἀπὸ κρυστάλλου ψυχροπαγής· κοτὲ δὲ καὶ αἷμα τοῖσι ἐσχάτοισι σκυβάλοισι ἐπιρρέει ξανθόν, ἄκρητον, ἀμιγές, ὡς δοκέειν φλεβὸς στόμιον ἀνεῷχθαι· ἀνεσθίει γὰρ τὸ δριμὺ τὰς φλέβας. μήκιστον δὲ καὶ δυσαλθὲς κακόν. καὶ γὰρ ἢν δοκέῃ πεπαῦσθαι, ἄνευ φανερῆς προφάσιος παλινδρομέει ἐσαῦθις [ἢν] ἠδὲ καὶ ἐπὶ σμικρῇ ἁμαρτωλῇ παλίνορσος ἥκει.

2.7.5 ἐς περίοδον γοῦν ἤδη φοιτῇ. γέρουσι [τὸ] ξύνηθες τὸ κακόν, καὶ γυναιξὶ μᾶλλον ἢ ἀνδράσι. παιδίοισι δὲ διάρροια μὲν ξυνεχὴς ἐφημέρῳ ἀκρασίῃ τροφῆς, ἀλλ' οὐ κοιλίῃ ἐνσκήπτει ἡ νοῦ- σος. τίκτει δὲ θέρος τῶν ἄλλων ὡρέων μᾶλλον· μετόπωρον δεύτερον· χειμὼν δὲ ὁ ψυχρότατος, ἢν ἀγχοῦ σβέσιος τὸ θερμὸν ἥκῃ. ἐπὶ χρονίῃ δὲ νούσῳ καὶ ἥδε καὶ δυσεντερίη καὶ λειεντερίη τίκτεται. ἀλλὰ καὶ χανδὸν ψυχροποσίη κοτὲ ξυνέστησε τὴν νοῦσον. Περὶ κωλικῶν.

2.8.1 Κωλικοὶ δὴ κτείνονται εἰλεῷ καὶ στρόφῳ ὀξέως. πάνυ μὲν ὦν αἴτια μυρία ἴσχει τῆς διαθέσιος. σημήϊα, βάρος μὲν ἐπ' ἀσιτίῃ, ἔνθα δὴ τὸ πάθος μάλιστα δὴ κραίνει. ὄκνος πουλύς· νωθέες, ἀπόσιτοι, ἰσχνοί, ἄγρυπνοι, οἰδαλέοι πρόσωπα. κὴν μὲν πρὸς τῷ σπληνὶ νοσέῃ κῶλον, μελάγχλωροι· λευκόχλωροι δέ, ὁκόσοι πρὸς ἥπατι, ξυμπαθείῃ τῶν ἄγχιστα σπλάγχνων.

2.8.2 ἢν δὲ προσαίρωνται τροφήν, καὶ ἐπὶ σμικρῇ καὶ ἀφύσῳ κάρτα φυσώδεες· καὶ προθυμίη μὲν ἐς διαπνοήν, ἀδιέξοδοι δὲ φῦσαι, ἐρυγαί τε ἄνω βιώμεναι, ἀτὰρ καὶ αἵδε ἀτελέες. ἢν δέ πῃ περήσῃ βίῃ, φῦσαι βρωμώδεες μὲν αἱ ἄνω καὶ ὀξυρεγμιώδεες. νεφροὶ καὶ κύστις ξυμπαθέα πόνῳ, καὶ ἰσχουρίῃ· τουτέοισι ἄλλα ἀντ' ἄλλων. θῶμα δὲ τουτέων μέζον, ἐς ὄρχιας καὶ κρεμαστῆρας ἀδόκητον ἄλγος ἐπιφοιτῇ. πολλοὺς τῶν ἰητρῶν ἥδε ἡ ξυμπαθείη λήθει· καὶ γὰρ καὶ ἐξέταμόν κοτε τοὺς κρεμαστῆρας, ὡς ἰδίην ἔχοντας αἰτίην· ἀλλὰ γὰρ καὶ τουτέοισι ἄλλα ἀντ' ἄλλων.

2.8.3 γίγνονται δὲ καὶ ἀπότοκοι τοῦδε νοῦσοι, ἀποστάσιες μὲν καὶ ἕλκεα οὐκ εὐήθεα· ὕδεροι δὲ καὶ φθίσιες, ἀναλθέα. ἐπὶ γὰρ ψύξει καὶ χυμοῖσι παχέσι καὶ φλέγματι πολλῷ κολλώδεϊ ξυνίσταται ἡ νοῦ- σος, ἀτὰρ καὶ ἡλικίῃ καὶ ὥρῃ. ψυχρῇ ἐπιφοιτῇ χώρῃ, καὶ χείματι καρτερῷ. Περὶ δυσεντερίης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.9.1 Ἐντέρων τὰ μὲν ἄνω λεπτὰ καὶ χολώδεα μέσφι τοῦ τυφλοῦ, χολάδες ἐπίκλην· ἀπὸ δὲ τουτέων τὰ κάτω παχέα καὶ σαρκώδεα μέσφι τῆς ἀρχῆς τοῦ εὐθέος ἐντέρου. ἐγγίγνεται ὦν ἐν ἅπασι ἕλκεα· δυσεντερίη δὲ τῶνδε τῶν ἑλκέων αἱ ἰδέαι· διὰ τόδε ποικίλαι ἔασι αἱ νοῦσοι.

2.9.2 τὰ μὲν γὰρ ἐπιπολῆς ξέει 〈τὰ〉 ἔντερα, ἀναδορὴν μούνην ποιεύμενα, καὶ ἔστιν ἀσινέα. ἀτὰρ δὲ ἀσινέστερα πολλόν, ἢν [τὰ] κάτω ᾖ τὰ πάθη· ἄλλη ἰδέη, εἰ σμικρὸν μὲν ἔτι βαθύτερα τὰ ἕλκεα, [οὐκ] εὐήθεα δὲ καὶ τάδε· ἄλλα βαθέα καὶ οὐχ ἱστάμενα, ἀλλ' ἐσθιόμενα, ἀδενώδεα, ἕρποντα καὶ ἐπισφακελίζοντα, θανατώδεα. ἀτὰρ καὶ φλέβια ἐπὶ τῇσι νομῇσι γίγνεται περίβρωτα, ἔν τε τοῖσι ἕλκεσι καὶ στάξιες αἱμορραγίης. τὸ μέζον ἄλλο εἶδος ἑλκέων· ὀχθώδεα, τρηχέα, ἀνώμαλα τυλαίνια, ὡς ἐν ξύλῳ ὄζον εἴπομεν. δυσαχθέα τάδε· οὔτε γὰρ ὠτειλὴν ῥηϊδίως ἴσχει, ῥηΐτερόν τε [γὰρ] λύονται.

2.9.3 αἰτίαι δὲ δυσεντερίης μυρίαι, ἐπίκαιροι δέ, ἀπεψίαι, ψύξιες ξυνεχέες, δριμέων πρόσαρσις, μυττωτοῦ, κρομμύου αὐτοῦ, σκόρδου, κρεῶν παλαιῶν δριμέων ἐδωδή, ἐφ' οἷσι ἀπεψίη· ὑγρὸν ἄηθες, κυκεών, ἢ βρυτέων πόμα, ἢ οἷα κατὰ χώρην ἑκάστην ἀντὶ οἴνου γίγνεται δίψεος ἄκεα· ἀτὰρ καὶ πληγὴ καὶ ψῦξις καὶ ψυχροποσίη τίκτουσι ἕλκεα.

2.9.4 αἱ δὲ ἐκκρίσιες καὶ τὰ ξυνεόντα τοῖσι ἕλκεσι ἕτερα καὶ ἕτερα ἐπ' ἄλλοισι καὶ ἄλλοισι. ἢν μὲν γὰρ ἐπιπολῆς ἔῃ, ἄνωθεν μὲν λεπτά, χολώδεα, ἄνο- σμα, πλὴν ὁκόσον ἀπ' ἐντέρων. τὰ δὲ ἀπὸ τῆς νήστιος κατακορέα μᾶλλον, κροκοειδέα, κακώδεα· τάδε καὶ ξὺν τῇ τροφῇ λελυμένῃ μέν, ἀλλὰ τρηχείῃ. ἄλλοτε κάκοδμόν ἐστι, τὰ δὲ ἕλκεα σηπεδών· ἄλλοτε δὲ ἴσχει, ὡς ἀπὸ σκυβάλων μοῦνον ἡ ὀσμή.

2.9.5 ἀπὸ δὲ τῶν κάτω ἐπὶ τοῖσι ἕλκεσι, ὑδατώδεα, λεπτά, ἄνο- σμα· ἢν δὲ ἐπὶ μᾶλλον βαθέα, ἰχωροειδέα, ὑπέρυθρα, οἰνώδεα ἢ ὅκως κρεῶν πλύμα· ἄλλοτε μὲν ἰδίῃ τάδε, ἄλλοτε δὲ ξὺν τοῖσι κοπρίοισι· καὶ τάδε ὑγρά, λελυμένα τῷ περιρρόῳ, ἄχολα, ἄνο- σμα, ἢ ξυνεστῶτα, ξηρὰ ἐξίασι, ὀλισθηρὰ τῷ περιρρόῳ. ἢν δὲ μέζω καὶ λειότερα ᾖ τὰ ἕλκεα, ἐπὶ μὲν τοῖσι ἄνω, χολώδεα, καὶ ἀφ' ὧν καὶ δι' ὧν ἔρχεται. καὶ γὰρ τὴν ἕδρην δάκνει· δριμεῖα γὰρ ἡ χολή, καὶ ἐπὶ μᾶλλον, ἢν ἀφ' ἕλκεος.

2.9.6 καὶ ἡ χολὴ δὲ πίων ὅκως λίπας. ἐπὶ δὲ τοῖσι βαθυτέροισι τοῖσι κάτω αἱμάλωψ παχὺς σὺν φλέγματι, σαρκοειδέα οὐ κάρτα πίονα, ξυσματώδεα ὡς ἀπ' ἐντέρων εἶναι. ἀτὰρ καὶ ὅλα ξυμμέμεικται μέρεα· φέρεται λευκά, παχέα, μυξώδεα, στέατι ξυγκοπέντι ἴκελα, ξὺν τῷ περιρρόῳ· τάδε μέντοι ἀπὸ τοῦ εὐθέος τοῦ παραμήκεος ἐντέρου. ἄλλοτε δὲ μυξώδεα μοῦνον, ὀδαξώδεα, σμικρά, στρογγύλα, δακνώδεα, ἐξαναστάσιας πυκινὰς καὶ προθυμίην ξὺν ἡδονῇ ποιεύμενα, ἐκκρίσιας δὲ κάρτα σμικράς· τεινεσμὸς τοῦδε ἡ ἐπίκλησις.

2.9.7 ἀπὸ δὲ τοῦ κώλου φέρονται καὶ σάρκες ἐξέρυθροι καὶ μεγάλαι, περιγραφὴν πολλὸν μέζονα ἔχουσαι· βαθέα γίγνεται τὰ ἕλκεα, καὶ αἷμα παχύ, τρυγῶδες· τάδε κάκοδμα τῶν πρόσθεν μᾶλλον. ἐπὴν δὲ ἕρπῃ καὶ ἐσθίῃ τὰ ἕλκεα, καὶ ἴσχηται μηδαμᾷ ἐπὶ μηδενί, ἄνωθεν μὲν πρὸς τοῖσι χολώδεσι τοῖσι κατακορέσι, κροκώδεα καὶ ἔπαφρα, τρυγίζοντα καὶ μέλανα, ἰσατώδεα, πρασοειδέα, παχύτερα τῶν πρόσθεν, κακώδεα ὅκως [ἡ] σηπεδὼν διαχωρέει· τροφὴ νῦν ἀπεπτοτέρη, ὡς ὑπὸ ὀδόντων λάβρων τετριμμένη μοῦνον.

2.9.8 ἢν δὲ τὰ κάτω ἀνεσθίηται, αἱμάλωπες μέλανες, παχέα, σαρκοειδέα, ἐξέρυθρα, θρομβώδεα, ἄλλοτε μὲν μέλανα, παντοίως ποικίλα, κάκοδμα, οὐ φορητά· ἀφέσιες τῶν ὑγρῶν ἀβούλητοι. ἀπελύθη κοτὲ καὶ εὐμήκες ἄκριτον κατὰ πλεῦνα, ὅκως ὑγιὲς τὸ ἔντερον, καὶ δέος παρέσχεν ἀμφὶ ἔντερον τοῖσι ἀγνοοῦσι τοῦ πρήγματος.

2.9.9 τὸ δέ ἐστι τοιόνδε· τῶν ἐντέρων, ὅκως τῆς κοιλίης, χιτῶνες ἔασι δοιοί, ἀτὰρ καὶ ἀλλήλοισι ἐπιβάλλουσι οἵδε λοξοί. ἢν ὦν ἡ διπλόη λυθῇ, ὁ μὲν ἐντὸς χιτὼν ἀποστὰς ἐς μῆκος ἔξω χωρέει, ὁ δὲ ἐκτὸς μίμνει μοῦνος, καὶ σαρκοῦται, καὶ ἐπωτειλοῦται, καὶ ἀλθέξονται, καὶ ζώωσι ἀσινέες.

πάσχει δὲ τὸ κάτω μοῦνον, αἰτίη δὲ τῶν χιτώνων τὸ σαρκοειδές. ἢν δὲ αἷμα ἀπό τευ ἀγγείου φέρηται, ξανθὸν ἢ μέλαν καθαρὸν ῥέει, ἀμιγὲς τροφῆς ἢ σκυβάλων ἄτερ, ἠδὲ ἐπίπαγος ἐπιπετάννυται πλατέσι ἀραχνίοισι ἴκελος· θρομβοῦται, ἢν ψυχθῇ· οὐδὲ γὰρ ἡ πίστις αἵματος ἔκκρισις, τῷ δὲ ῥοίζῳ πολλῷ ξὺν πνεύματι μέζων τῆς περιστάσιος ἡ φαντασίη τῆς ἐκκρίσιος.

2.9.10 γίγνεταί κοτε καὶ ἐν κώλῳ πύου ἀπόστασις, οὐδέν τι τῶν ἄλλων τῶν ἐντὸς ἑλκέων ξενοπρεπεστέρη· καὶ γὰρ τὰ σημήϊα καὶ τὸ πῦον καὶ ἡ ἄλθεξις τῶν ἑλκέων ἡ ὠυτή. ἢν δὲ ἐκκρίσιες σκληραὶ τῶν σαρκοειδέων ἔωσι, τετριμμέναι, τρηχέσι σώμασι ἴκελαι, ἡ ἀπόστασις οὐ τοῦ εὐήθεος τρόπου. ῥέει κοτὲ πολλὸν ἀπὸ τοῦ κώλου ὕδωρ, δυσεντεριώδεα τρόπον· ὕδρωπος τόδε μυρίους ἐρρύσατο. τὰ μὲν ἕλκεα, ὡς ἔπος εἰπεῖν, τὰ ἐν τοῖσι ἐντέροισι τοιάδε· ἀτὰρ ἠδὲ καὶ ἡ τῶνδε ἰδέη καὶ αἱ ἀπὸ τῶνδε ἐκκρίσιες, ὁκοίας ἔλεξα.

2.9.11 φράσω δὲ καὶ τὰ ξυνεόντα ἑκάστοισι τῶν νοσευόντων, ἤν τε εὐήθεα, ἤν τε σιναρὰ ᾖ τὰ ἕλκεα. ἁθρόον μὲν ὦν εἰρήσθω, ἢν ἐπιπολῆς ἀναδορή, ἤν τε ἄνω ἤν τε κάτω ἔῃ, ἄπυροι, ἄπονοι, ὀρθοστάδην ὑγιαζόμενοι σμικρῇσι τῇσι διαίτῃσι ἑτεροίως. ἢν δὲ ἕλκος ἐγγένηται, ἐπὶ μὲν τοῖσι ἄνω στρόφος δακνώδης, δριμύς, ὡς ἀπὸ χολῆς θερμῆς σμικρῆς, ἔμπυοι ἄλλοτε καὶ ἄλλοτε· τὸ δὲ πλέον, ἔμπυον. ἢ πέψιες ἡμιτελέες· οὐκ ἀπόσιτοι. ἢν δὲ τοῖσι κάτω ἕλκεα γένηται, πολλόν τι ἀσινέστερα τῶν ἄνω· καὶ γὰρ τὰ ἔντερα πολλόν τι μᾶλλον τῶν ἄλλων σαρκώδεα.

2.9.12 ἢν δὲ κοῖλα καὶ ἀνεσθίοντα ἐς τὰ ἄνω γένηται, πυρετοὶ ὀξέες, ἀλαμπέες, ἐν τοῖσι σπλάγχνοισι ὑποβρύχιοι· περίψυξις, ἀποσιτίη, ἀγρυπνίη· ἐρυγαὶ κακώδεες, ναυτίη, χολῆς ἔμετοι, σκοτοδίνη. ἢν δὲ πολλὴ μὲν ἡ φορή, χολωδεστέρων δὲ γίγνηται, ἐπίμονοι στρόφοι καὶ ἄλλοι πόνοι μᾶλλον· ποτὶ καὶ ἐκλύσιες δυνάμιος, ὑπολύσιες γουνάτων· καυσώδεες, διψαλέοι, ἀσώδεες· ναυτίη μελάνων, γλῶσσα ξηρή, σφυγμοὶ σμικροί, ἄτονοι. τουτέων ἀδελφά, ὁκόσα ἐπὶ τοῖσι κακοειδέσι ἕλκεσι ἔλεξα τὰ θανατώδεα. καρδιώσσουσι μέσφι λειποθυμίης, μετεξέτεροι δὲ οὐδὲ ἐς ἀνάκτησιν ἐπαλινδρόμησαν, ἀλλ’ οὕτως ἐξέθανον.

2.9.13 τάδε τὰ δεινὰ ξυνὰ καὶ τῇσι ἀπὸ τῶν κάτω ἐντέρων διαβρώσεσι, ἢν νέμηται μὲν τὰ ἕλκεα, ἄσχετος δὲ ἡ φορή, πλὴν ὁκόσον οἱ στρόφοι καὶ οἱ πόνοι ὑπὸ τὸν ὀμφαλὸν κάτω, ἔνθα τὰ ἕλκεα. ἰδέαι δὲ αἱ τῶν ἐκκρίσεων, ὁκοίας ἔλεξα. ἢν δὲ ἐπὶ τοῖσι πρώτοισι σμικρὰ ᾖ, ἀνακωχὴ δὲ ἐς μακρὸν ᾖ νομῆς, ἄλλα ἐπ’ ἄλλοισι ἕλκεα γίγνεται, τῶν μὲν πρηϋνομένων, ἄλλων δὲ κορυφουμένων, ὅκως ἐν θαλάσσῃ κύματα· τοιόνδε τὸ τῶν ἑλκέων χύμα. ἢν δὲ καί κοτε ἐπαρκέσῃ μὲν ἡ φύσις, συνασκήσῃ δὲ καί οἱ ἰητρός, πέπαυται μὲν ἡ νομή, καὶ θάνατον οὐκ ὀρρωδέει· σκληρὰ δὲ καὶ ὀχθώδεα μίμνει τὰ ἔντερα, καὶ τῶνδε ἐς μακρὸν ἡ ἄλθεξις.

2.9.14 αἱμορραγίῃ δὲ ἀπ’ ἐντέρων, ἢν μὲν μεγάλης φλεβὸς ἢ ἀρτηρίης ἔῃ, ὠκὺς ὁ θάνατος. οὐδὲ γὰρ οὐδὲ τὴν χεῖρα δυνατὸν ἔσω ἐσμάσασθαι καὶ τοῦ ἄλγεος θιγεῖν, ἢ φάρμακον αὐτῷ τῷ ἕλκεϊ προσβάλλειν. καίτοι καὶ εἰ ἐπίσχοιτο ἡ αἱμορραγίη φαρμάκῳ, οὐκ ἀτρεκὴς τοῦ θανάτου ἡ φυγή. μετεξετέροισι γὰρ μεγάλης ἐσχάρης ἔκπτωσις τῆς φλεβὸς τὸ στόμιον ἐς μέζον εὐρύνει, εὖτε καὶ θρόμβοι ἔνδον ἐγγίγνονται καὶ μίμνουσι ἔσω· ἄφυκτος ἡ νοῦ- σος.

2.9.15 χρὴ ὦν ἀρχομένῃσι αἱμορραγίῃσι ἀρήγειν. δήλη δὲ ὡς ἐπίπαν γίγνεται μέλλουσα, εἰ καὶ μὴ πάμπαν εὔσημος· ἄση ξύνεστι, ἀπορίη, βάρος τοῦ τόπου, ἔνθα ῥήσσεται, ἐρύθημα τοῦ προσώπου, ἢν μηδέκω ῥαγῇ. κἢν μὲν ἡ φλὲψ νεορραγὴς ἔῃ, ὡς ἐπίπαν μαλθάσσεται πάμπαν. ἢν δὲ πρόσω ᾖ χρόνου, χαλεπώτερον καὶ βραδύτερον. τοιάδε μὲν τὰ ἐν ἐντέροις ἕλκεα. γίγνεται δὲ θέρεος ὥρῃ, δεύτερον φθινοπώρου, ἧσσον ἦρος, ἥκιστα χειμῶνος. καὶ διάρροιαι μὲν παιδίοισι καὶ μειρακίοισι, δυσεντερίη δὲ ἀκμάζουσι καὶ νέοισι· γῆρας δὲ δυσαλθὲς καὶ ἐς ὠτειλὴν χρόνιον· τὰ δὲ ἀνεσθιόμενα γέρουσι ἀήθεα· ἀτὰρ καὶ αἱμορραγίη ἀξύμφωνος γήρᾳ.
Περὶ λειεντερίης.

2.10.1

Ἢν ἐπὶ δυσεντερίῃ καὶ ἕλκεσι πλατέσι καὶ κάρτα βαθέσι τῶν ἄνω ἐντέρων ὠτειλαὶ ἐγγίγνωνται πυκιναί, παχέες, στερέμνιοι, τὰ σιτία ἐκ τῶνδε ἐς τὰ κάτω διεκθέει, ὑγρά, ἀδιάκριτα τοῦ τροφίμου· τὸ γὰρ τῶν ἐντέρων ἀραιόν, δι' οὗπερ ἐς τὴν ἄνω φορὴν ἡ τροφὴ ἀναΐσσει, ἀπέκλεισεν ἡ ὠτειλή. ἀτροφίη ὦν τὸν ἄνθρωπον ἴσχει καὶ ἀχροίη καὶ ἀτονίη. ἐπίκλην τὸ πάθος λειεντερίη ἴσχει—τὸ ἐπὶ τῇ οὐλῇ λέγω τῶν ἐντέρων—τοὔνομα.

2.10.2 καὶ νῦν μὲν ἐξ ἑλκέων ἐστὶ ἡ πάθη· ἄλλοτε δὲ ἔντερα μὲν ὠτειλὴν οὐκ ἴσχει, ἔθος δὲ καὶ μελέτη διαρρυεῖσα ἐκδιδάσκει τὰ ἔντερα· τὸ γὰρ ἐν τουτέοισι θερμὸν ἢν καταψυχθέν κοτε μήτε καταπέσσῃ, μήτε ἐς τὴν ἀναφορὴν ἀναΐσσῃ, ἄκρατος δὲ ὑπ' ἀσθενείης ἔῃ, διαδιδρήσκει πᾶν ἔργον ἡ τροφή. ἀλλ' ἢν μὲν σχέδιος καὶ μὴ ἑδραίη γένηται ἡ κάθαρσις, ἀλλὰ φαύλη, ἁπλοῦς ἔμετος ἀπὸ σιτίων ἔλυσε τὴν νοῦσον. ἢν δὲ πρὸς †ὠκέϊ χρόνῳ καὶ ἐν ἕδρῃ ἵζῃ ἡ αἰτίη τουτέων, οὐδὲν ὠφελέει. τίκτει δὲ καὶ χρονίη νοῦ- σος καὶ ὀρθοστάδην καχεξίη· ἀτὰρ καὶ ὕδρωπές κοτε ἐς τόδε ἀπέσκηψαν εὐτυχῶς, ἐς κακὸν μὲν ἐκ κακοῦ, ἀλλὰ κρέσσων ἡ διαδοχή. Περὶ ὑστερικῶν.

2.11.1 Τῇσι γυναιξὶ ὑστέρη ἀγαθὴ μὲν ἐς κάθαρσιν καὶ τόκον, ξυμφορὴ δὲ νούσων μυρίων τε καὶ κακῶν. οὐ γὰρ ἑλκέων ἢ φλεγμασίης ἢ ῥόου μοῦνον· ἀλλὰ κἢν ἐξαπίνης ὅλη ἄνω κινέηται, ὠκέως κτείνει. γεγράφαται μὲν ὦν ἐν ἄλλοισι, ὁκοῖα τῶν ἀπ' αὐτέης ἦν ὀλέθρια ὀξέα. τὰ δὲ χρόνια, ῥόος διπλόος, σκληρίη, ἕλκεα, τὰ μὲν ἀσινέα, τὰ δὲ κακοήθεα, πρόπτωσις ὅλης ἢ μέρεος. ῥόος μὲν ὦν ἐρυθρὸς ἢ λευκόχροος· ἰδέα δηλοῖ.

2.11.2 ἐρυθρὸς μέν, ἢν αἷμα ξανθόν, καὶ αἱ τοῦδε ἰδέαι ἢ πελιδνὸν ἢ μέλαν καὶ λεπτὸν ἢ παχὺ καὶ πεπηγός, οἷον θρόμβοι, ἢ λευκὸς ὡς ὕδωρ ἢ ὠχρόξανθος ὡς χολή· παχὺς δὲ ὅκως ὑπόλεπτος, ἢ λεπτὸς ἰχὼρ καὶ κάκοδμος. λευκὸς δὲ ὡς πῦον, ὁ δὲ ἀτρεκής, ὡς λευκὸς ὀρός· ἀτὰρ καὶ αἱμάλωψ κοτὲ τῷ πύῳ ξυνεκρέει. μυρίαι δὲ ἄλλαι παρὰ τὸ μᾶλλον τουτέων καὶ ἧττον ἰδέαι.

2.11.3 περίοδος δὲ ἄλλοτε μὲν ἡ ἐπὶ μῆνα κάθαρσις, ἀλλ' οὐκ ἐς τὴν ἀρχαίην ξυνίσταται προθεσμίην. οὐ πολλὸν μὲν τὸ αἷμα, ἐν ἡμέρῃσι δὲ πολλῇσι ἐκρέει· ὀλιγήμερος δὲ ἡ διάλειψις, ἀλλὰ καθαρή. ἄλλος περιόδου τρόπος, ἐς προθεσμίην μέν, ἀλλ' οὐκ ἐς πλῆθος ἐπὶ πλεῖστον ἡ πρώτη κάθαρσις, δὶς δὲ καὶ τρὶς καθαίρονται ἀνὰ πάντα τὸν μῆνα. ἄλλη ἰδέη, ἄσχετος μὲν ἡ ῥοὴ καὶ σμικρὴ ἐφ' ἡμέρης ἑκάστης, ἀλλ' ἐς τὸν ὅλον μῆνα οὐ πάγχυ βαιή. οὐδὲ γὰρ ὑστέρη μύει τὸ στόμα, ἀλλὰ οἴγνυται, πάρεσιν ἐς ῥύσιν ὑγρότητος πάσχουσα. εἰ δὲ μήτε διαλείπει μήτε σμικρὸν ἐκρέει, αἱμορραγίῃ θνήσκουσι.

2.11.4 σημήϊα δὲ πρὸς τῇσι χροιῇσι τοῦ ῥόου ἡ χροιὴ τῆς ἀνθρώπου· ἄγρυπνοι, ἀπόσιτοι, ἀσώδεες, ἔκλυτοι ἐπὶ τοῦ ἐρυθροῦ μᾶλλον, καὶ ὀδυνώδεες, καὶ κάκοδμον ἐπ' ἀμφοῖν τὸ ῥεῦμα, ἀλλὰ μᾶλλον καὶ ἧσσον ἄλλοτε καὶ ἄλλοτε. ὁ μὲν γὰρ λευκὸς κακίων, ἢν μέζων κου ἡ σηπεδὼν ἔῃ· ἄλλοτε δὲ ὁ ἐρυθρός, ἢν ἀγριαίνῃ ἡ διάβρωσις. ἁθρόον δὲ εἰρήσθω, μέλας μὲν ἁπάντων κακίων, πελιδνὸς δεύτερον· ὠχρὸς δὲ καὶ λευκὸς καὶ πυώδης, μακρότεροι μέν, ἧσσον δὲ κινδυνώδεες.

2.11.5 τουτέων δὲ αὐτέων ὁ ὠχρὸς κακίων μέν, πολλὸν δὲ κρέσσων ὁ τῷ ξυνήθεϊ μεμειγμένος· ξυνήθης δὲ ἐρυθρὸς μὲν [ἔῃ] καὶ τὰ τοῦδε εἴδεα. τὸ δὲ ἀληθὲς γεραιτέρῃσι κακίονες οἱ ἐρυθροί· ἥκιστα δὲ νεήνισι οἱ λευκοί, ἀτὰρ καὶ ἀσινέστεροι ταύτῃσι οἱ ξυνήθεες. ἄλλος ῥόος λευκὸς ἡ ἐπιμήνιος κάθαρσις, λευκή, δριμεῖα, καὶ ὀδαξώδης ἐς ἡδονήν· ἐπὶ δέ τισιν ὑγροῦ λευκοῦ, παχέος, γονοειδέος πρόκλησις. τόδε τὸ εἶδος γονόρροιαν γυναικείων ἐλέξαμεν. ἔστι δὲ τῆς ὑστέρης ψῦξις, οὕνεκεν ἀκρατὴς τῶν ὑγρῶν γίγνεται. ἀτὰρ καὶ τὸ αἷμα ἐς χροιὴν λευκὴν ἀμείβει· τοῦ γὰρ πυρὸς οὐκ ἴσχει τὸ φοινίσσον. τήνδε τὴν πάθην καὶ στόμαχος νοσέει, καὶ ἐμέει φλέγμα· ἀτὰρ καὶ ἔντερα ὁμοίην πάσχει, εὖτε τὴν διάρροιαν νοσέει.

2.11.6

γίγνεται ἕλκεα καὶ ἐν ὑστέρῃ, τὰ μὲν πλατέα, κνησμώδεα, †ἅπερ ἅλια, ὅκως ἀναδορή τις ἐπιπολῆς· πῦον παχύ, ἄνοσμον, ὀλίγον· εὐήθεα τάδε τὰ ἕλκεα. ἄλλα τουτέων βαθύτερα καὶ κακίονα, οἷσι πόνοι σμικροί, πῦον ὀλίγῳ πλεῖον· μᾶλλον κάκοδμα, ἀλλ’ ἔμπης εὐήθεα καὶ τάδε. ἢν δὲ ἐπὶ μᾶλλον βαθέα γίγνηται, καὶ τὰ χείλεα τῶν ἑλκέων ἀπηνέα ἢ τρηχέα, ἰχώρ τις κακώδης, καὶ πόνος τῶν πρόσθεν μέζων· ἀνεσθίει δὲ τὴν ὑστέρην τὸ ἕλκος· ἐξήκει δέ κοτε καὶ ἀπολυθέν τι σαρκίον· μὴ ἐς ὠτειλὴν ἰὸν μήκιστον κτάνει τόδε. χρόνιον γίγνεται κάρτα· τόδε καὶ φαγέδαινα κικλήσκεται. ὀλέθρια δὲ τὰ ἕλκεα, ἢν πρὸς τοῖσι ἄλγος ὀξύνῃ καὶ ἡ ἄνθρωπος ἀπορῇ.

2.11.7 σηπεδὼν δὲ ἀπὸ τοῦ ἕλκεος ῥέει, οὐδὲ αὐτέῃσι φορητή· ἀγριαίνει ψαύσεσί τε καὶ φαρμάκοισι καὶ χαλεπαίνει πάσῃ καὶ ἰητρείῃ. φλέβες δὲ ἐν ὑστέρῃ ἐς ὄγκον αἴρονται ξὺν περιτάσει τῶν πέλας, τῇσι δὲ πεπνυμένῃσι οὐκ ἄσημον τῇ ἁφῇ· οὐ γὰρ ἄλλως δῆλον. πῦρ δὲ καὶ ἄση τοῦ παντὸς καὶ σκληρίη ξύνεστιν, ᾗπερ τοῖσι θηριώδεσι [θανατώδεα ὄντα ἕλκεα], ἀτὰρ καὶ ἐπίκλησιν ἴσχει καρκίνων.

2.11.8 ἄλλος καρκίνος· ἕλκος μὲν οὐδαμῇ, ὄγκος δὲ σκληρός, ἀτέραμνος· ξυντιταίνει δὲ τὴν ὑστέρην ὅλην. ἀτὰρ καὶ ἄλγεα κατὰ τὰ ἄλλα, ὅσα ἐφέλκει· τὰ ωὐτὰ δὲ ἄμφω τὰ καρκινώδεα καὶ χρόνια καὶ ὀλέθρια· πολλὸν δὲ τὸ ἕλκος τοῦ ἀνελκώτου κάκιον καὶ ὀσμῇ καὶ πόνοισι καὶ ζωῇ καὶ θανάτῳ.

2.11.9 ἐξίσταταί κοτε τῆς ἕδρης ἡ ὑστέρη ὅλη καὶ ἐπὶ τοῖσι μηροῖσι τῆς γυναικὸς ἱζάνει. ἄπιστος ἡ ξυμφορή, ἀλλ’ οὐκ ἀθέητος ἡ ὑστέρη, οὐδὲ ἀγέννητος ἡ αἰτίη. ξυνδιδοῦσι γὰρ οἱ ὑμένες οἱ πρὸς τοὺς λαγόνας, ὀχῆες τῆς ὑστέρης ἐόντες νευρώδεες· οἱ μὲν κατὰ πυθμένα πρὸς τὴν ὀσφὺν λεπτοί, οἱ δὲ κατὰ αὐχένα ἔνθα καὶ ἔνθα πρὸς τοὺς λαγόνας· οἵδε μάλιστα νευρώδεες, πλατέες ὅκως νεὼς λαίφεα. πάντες ὦν ξυνδιδοῦσι οἵδε, ἢν ἔξω ἡ ὑστέρη ἀΐσσῃ. κτείνει μὲν ὦν τὰ πολλὰ ἔκπτωσις ἥδε· γίγνεται γὰρ ἐπὶ ἀμβλωσμῷ καὶ σεισμοῖσι μεγάλοισι καὶ βιαίῳ τόκῳ· ἢν δὲ μὴ κτάνῃ, ἐς μακρὸν αἵδε ζώουσιν, ὁρέουσαι τὰ μὴ θεητὰ καὶ τιθηνοῦσαι ἔξω καὶ βαυκαλῶσαι τὴν ὑστέρην.

2.11.10 δοκέει δέ κοτε τῆς διπλόης τῆς ὑστέρης ὁ ἔνδον ὑπεζωκὼς χιτὼν [εὖτε] ἀποσπᾶσθαι τοῦ ξυναφέος· δοιαὶ γὰρ * αἱ σχίδες †μόναι ἀπηλλαγμέναι 〈τοῦ〉 χιτῶνος· ὅδε ὦν ἀφίσταται μὲν καὶ ῥεύματι, ἅτε καὶ ἐκτρωσμῷ καὶ βιαίῳ τόκῳ, εὖτε ἔτι τῷ χορίῳ προσπέφυκεν αὐτέη. ἢν γὰρ τόδε ἕλκηται βίῃ, ξυνεκπεράσας ὁ τῆς ὑστέρης χιτών *** ἀλλὰ ἢν μὴ ἐκθάνῃ ἡ γυνή, παλίνορσος ἐς τὸ αὐτὸ ξυνήφθη κοτὲ στάθμῃ, σμικρὸν ἔξω φαίνεται· σκέπει γὰρ τοῖσι μηρίοισι ἡ γυνή.

2.11.11 προπίπτει κοτὲ τὸ στόμιον τῆς ὑστέρης μοῦνον μέσφι τοῦ αὐχένος, ἀλλ’ αὖθις εἴσω δύεται, ἢν ὀσφραίνηται ἡ ὑστέρη θυμίῃσι κακώδεσι· ἕλκει δὲ αὐτέην καὶ ἡ γυνή, ἢν ὀσφραίνηται θυμιητῶν εὐωδέων. ἀτὰρ καὶ χερσὶ μαίης ἀτρέμας εἴσω θέει, ἡσυχῇ πιεζευμένη καὶ χριομένη πρόσθεν τοῖσι ὑστέρης μειλίγμασι. Περὶ ἀρθρίτιδος καὶ ἰσχιάδος.

2.12.1 Ξυνὸς μὲν ἁπάντων τῶν ἄρθρων πόνος ἡ ἀρθρῖτις· ἀλλὰ ποδῶν μὲν ποδάγρην καλέομεν, ἰσχίων δὲ ἰσχιάδα, χειρῶν δὲ χειράγρην· ἤν γε μὴν σχέδιος ᾖ ἐπί τι τῶν προσκαίρων αἰτίων ὁ πόνος, ἢ κρύβδην [δὲ] μελετήσῃ πολλὸν χρόνον ἡ νοῦ- σος, εὖτε ἐπὶ προφάσει σμικρῇ ὁ πόνος καὶ ἡ νοῦ- σος ἐξήφθη. ἔστι δὲ ἁπάντων μὲν ξυλλήβδην τῶν νεύρων ἡ πάθη, ἢν αὐξηθὲν τὸ κακὸν ἅπασι ἐπιφοιτῇ· ἀρχὴ δὲ νεῦρα, τὰ δεσμὰ τῶν ἄρθρων, καὶ ὁκόσα ἐξ ὀστέων πέφυκε καὶ ἐν ὀστέοισι ἐμφύνει.

2.12.2 θῶμα δὲ τουτέων μέγα· οὐ πονέει μὲν γὰρ θρίξ, οὐδ’ ἂν τέμνῃ τις ἢ θλίβῃ· ἢν δὲ ἐξ ωὐτέων πονῇ, οὐδὲν ἕτερον ἀλγέει τοῦδε δυνατώτερον, οὐ σίδηρα σφίγγοντα, οὐ δεσμά, οὐ τιτρῶσκον ξίφος, οὐ καῖον πῦρ. καὶ γὰρ καὶ ταῦτα ἐπαναιροῦνται ὡς μεζόνων πόνων ἄκεα· καὶ ἢν τάμῃ τις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὰ πονεῦντα, ἀμαυροῦται ὁ τῆς τομῆς πόνος σμικρὸν ὑπὸ τοῦ μέζονος· ἢν δὲ ὅδε κρατέῃ, ἡδονή σφεας λάζυται ἐπιλήθουσα τῶν πάρος· πάσχουσι δὲ τοῦτο ὀδόντες καὶ ὀστέα.

2.12.3 αἰτίην δὲ ἀτρεκέα μὲν ἴσασι μοῦνοι θεοί, ἐοικυῖαν δὲ καὶ ἄνθρωποι· ἔστι δὲ ὡς ἔπος εἰπεῖν τοιόνδε. τὸ μὲν κάρτα πυκινὸν ἀναίσθητον ψαύσιος καὶ τρώσιος, τῇδε καὶ ἄπονον ψαύσει καὶ τρώσει· ἄλγος γὰρ τρηχείᾳ ἐν αἰσθήσει. τὸ δὲ πυκινὸν ἀτρήχυντον, διὰ τόδε καὶ ἄπονον. τὸ δὲ ἀραιὸν εὐαίσθητον, καὶ τρηχύνεται τρώματι. ἀλλ' ἐπεὶ καὶ τὰ πυκινὰ ζῇ ἐμφύτῳ θέρμῃ καὶ αἴσθεται τῇδε τῇ θέρμῃ, εἰ μὲν οὐσιώδης ἡ δρῶσα αἰτίη ἔοι, οἷον [ἡ] μάχαιρα ἢ λίθος, τὸ οὐσιῶδες τοῦ πάσχοντος οὐκ ἀλγέει· πυκινὸν γὰρ τὴν φυήν.

2.12.4 ἢν δὲ τῆς ἐμφύτου θέρμης δυσκρασίη λάβηται, αἰσθήσιος γίγνεται τροπή. τοῦτο ὦν ἐξ ἑωυτέης πονέει ἡ θέρμη, ἐκ τῆς κατὰ αἴσθησιν ἔσωθεν ἐγείρεται ὤσιος· φύσιος δὲ τῆς ἐς μέζω ἢ περιουσίης τὰ ἄλγεα. ἐγχρίμπτεται δὲ ἡ ἀρθρῖτις ἄλλοτε ἐς ἄλλα ἄρθρα, τοῖσι μὲν ἐς ἰσχία, καὶ τὰ πολλὰ τῇδε ἐπιμίμνει, [γύϊος] ἅσσα τε μέλεα κοτὲ σμικρόν, εὖτε οὐδὲ ἐπὶ τὰ σμικρὰ φοιτῇ, πόδας τε καὶ χεῖρας. ἢν γὰρ μεζόνων λάβηται μελέων χωρῆσαι τὴν νοῦσον δυναμένων, οὐχ ὑπερβαίνει τὰ ὄργανα· ἢν δὲ ἀπὸ τοῦ σμικροῦ ἄρξηται, ἐστὶ εὐήθης καὶ ἀδόκητος ἡ εἰσβολή.

2.12.5 ἰσχιάδος μὲν ἀπὸ μηροῦ κατόπιν ἢ ἰγνύος ἢ κνήμης ἡ ἀρχή. ἄλλοτε δὲ ἐπὶ τῇ κοτύλῃ τὸ ἄλγημα φαίνεται, αὖθις ἐς γλουτὸν ἢ ὀσφὺν ὀκέλλει, καὶ πάντα μᾶλλόν ἐστιν ἢ δόκησις ἰσχίου. ἀτὰρ καὶ τὰ ἄρθρα ὧδέ πως ἄρχεται· τοῦ ποδὸς τὸν μέγαν δάκτυλον ἀλγέει, αὖθις τὴν ἐπιπρόσω πτέρνην, ᾗ πότι στηριζόμεθα· ἔπειτα ἐς τὸ κοῖλον ἧκε, τὸ δὲ σφυρὸν ἐξῴδησε ὕστατον.

2.12.6 πρόφασιν δὲ αἰτιῶνται ἀναίτιον, οἱ μὲν κρηπῖδος καινεῆς τρίβον, οἱ δὲ μακρὴν περίοδον, ἄλλος δὲ πληγὴν ἢ πάτημα· οὐδεὶς δὲ φράζει τὴν οἴκοθεν οὖσαν, ἀτὰρ καὶ ἀκούσασι τοῖσι πάσχουσι τὸ ἀτρεκὲς ἔδοξε ἄπιστον. διὰ τόδε ἐς ἀνήκεστον ἐτράπη, ὅτιπερ τῇσι ἀρχῇσι, ὁκότε ἀσθενεστάτη ἐστὶ ἡ νοῦ- σος, ὁ ἰητρὸς οὐκ ἐνίσταται· ἢν δὲ χρόνῳ κρατυνθῇ, ἀνόνητος ἡ μελέτη.

2.12.7 τισὶ μὲν ὦν ἐς ποδῶν ἄρθρα μίμνει μέσφι θανάτου, τισὶ δὲ νέμεται ἐς τὴν τοῦ παντὸς σκήνεος περίοδον· τὰ πολλὰ δὲ ἀπὸ τῶν ποδῶν ἐς χεῖρας ἤϊξε. οὐ γὰρ μεγάλα τὰ ὅρια τῇ νούσῳ χειρῶν τε καὶ ποδῶν, ὅτι ἄμφω ὁμοφυέα, ἰσχνὰ καὶ ἄσαρκα καὶ ἐγγυτάτω τοῦ ἔξω ψύχεος, ἀπωτάτω δὲ τοῦ εἴσω θάλπεος· αὖθις ἀγκὼν καὶ γόνυ· ἐπὶ δὲ τοῖσι κοτύλαι περίστροφοι ἠδὲ μετάβασις ἐς νώτου μύας καὶ θώρηκος.

2.12.8 ἄπιστον ἐς ὅσον ἕρπει τὸ κακόν. σπόνδυλοι ἀλγέουσι ῥάχιός τε καὶ αὐχένος, καὶ ἐς ἄκρον ἐρείδει τοῦ ἱεροῦ ὀστέου· καὶ ξυμπάντων τε ὁμοῦ πόνος καὶ [ἡ] ἰδίη ἑκάστου ὀδύνη. ἀτὰρ ἠδὲ τένοντες, ἀδένες, μύες· ξὺν ἐντάσει ἀλγέουσι· γνάθων καὶ κροτάφων μύες· νεφρῶν καὶ κύστιος ἡ διαδοχή. ὢ τοῦ θώματος. ἐπὶ πᾶσι πάσχουσι ῥῖνας καὶ ὦτα καὶ χείλεα· πάντῃ γὰρ νεῦρα καὶ μύες. τῆς κεφαλῆς ἤλγεε τὰς ῥαφάς, οὐκ εἰδὼς μὲν ὅ τι πονέει, ἐδείκνυε τῶν ῥαφῶν τὰ εἴδεα, λοξήν, εὐθείην, ἐπικάρσιον, ὀπίσω τε καὶ πρόσω· ἰσχνὴν δὲ τὴν ὀδύνην καὶ τοῖσι ὀστέοισι ἐμπεπαρμένην· πᾶσαν γὰρ ὀστέων ξυμβολὴν νέμεται ἡ νοῦ- σος, ὅκως ποδὸς ἢ χειρὸς ἄρθρον.

2.12.9 γίγνονται δὲ τῶν ἄρθρων καὶ ἐπιπωρώσιες· τὰ πρῶτα μὲν ὁκοῖον ἀποστάσιες ἴσχουσι, ἐπὶ δὲ μᾶλλον πυκνοῦνται, καὶ πηγνυμένου τοῦ ὑγροῦ ἀπηνέες αἱ ἀποφύσιες· τέλος δὲ πῶροι στερροί, λευκοὶ ξυνίστανται· ἐς δὲ πᾶν ὄγκοι σμικροὶ ὁκοῖον ἴονθοι καὶ μέζονες· ὑγρὸν δὲ παχύ, λευκόν, χαλαζῶδες· καὶ γὰρ [τὸ] τοῦ παντὸς ἡ νοῦ- σος ψυχρὴ ὅκως χάλαζα.

2.12.10 δοκέει δὲ θέρμης ἢ ψύξιος ἴσχειν διαφορήν· καὶ γὰρ οἷσι τῶν εὖ βδελυκτέων ἡδονή· ἐμοὶ δὲ ἀνδάνει μίαν μὲν αἰτίην τὴν ἔμφυτον ψῦξιν ἔμμεναι, μίαν δὲ καὶ πάθην. ἀλλ' ἢν μὲν εὐθέως ἐποιδέῃ καὶ θέρμη φανῇ, ἐμψύξιος χρέος, καὶ τοῖσι τέρπεται· ὀνομάζουσι δὲ θερμὴν τήνδε. ἢν δὲ ὁ πόνος ἐν τοῖσι νεύροισι εἴσω μίμνῃ, ξυμπεπτώκῃ δὲ τὸ ἄρθρον ἄθερμον μηδὲ ἐποιδέῃ, ψυχρὴν τήνδε φαίην 〈ἂν〉 ἔμμεναι· ἐφ' ἧς θερμῶν φαρμάκων ἐς ἀνάκλησιν θέρμης χρέος·

χρὴ δὲ τάδε πολλὰ τῶν κάρτα δριμέων. θερμασίη γὰρ τά τε ξυμπεπτωκότα μέρεα ἐς ὄγκον ἤγειρε καὶ τὴν εἴσω θέρμην ἐς ἀνάκλησιν ἤγαγε· εὖτε τῶν ψυχρῶν χρέος.

2.12.11 πίστις· τοῖσι γὰρ αὐτέοισι οὐ τὰ αὐτὰ ξυμφέρει· καὶ γὰρ ὅ κοτε ξυνήνεγκε, τοῦτ’ ἔβλαψεν ἄλλοτε. ὡς δὲ ἔπος εἰπεῖν, θέρμης ἐπὶ τῇ ἀρχῇ, ψύξιος δὲ ἐπὶ τῷ τέλεϊ χρέος. ξυνεχὴς μὲν ὦν ποδάγρη οὐ ῥηϊδίως γίγνεται, διαλείπει δὲ ἔσθ’ ὅκῃ χρόνον μακρόν· λεπτὴ γάρ· καὶ Ὀλυμπίασι ἐνίκησε ποδαγρὸς ἐπ’ ἀνέσει δρόμον.

2.12.12 ἀλλ’ ἄνδρες μὲν παθεῖν ῥηΐτεροι, γυναικῶν δ’ ἐλαφρότερον· γυναῖκες δ’ ἀραιότερον μὲν ἀνδρῶν, χαλεπώτερον δέ· τὸ γὰρ μὴ ἐν ἔθεϊ μηδὲ οἰκεῖον, ἢν ὑπὸ ἀνάγκης κρέσσον γένηται, βιαστὴν μέζονα τίκτει τὴν ξυμφορήν. ἡλικίη τὰ πολλὰ μὲν ἀπὸ ἐτέων πέντε καὶ τριήκοντα· θᾶσσον δὲ καὶ βράδιον ἐκ τῆς ἑκάστου φύσιος καὶ διαίτης. δεινοὶ μὲν ὦν οἱ πόνοι, καὶ τὰ παρεόντα πόνων μέζονα· λειποθυμίη ἐπὶ τῇσι ψαύσεσι, ἀκινησίη, ἀποσιτίη, δίψος, ἀγρυπνίη.

2.12.13 ἢν δὲ ἐπανέλθωσι, τοῦτο μέν, ὅκως ἐκ θανάτου πεφευγότες, ἄνετοι τὸν βίον, ἀκρατέες, ἁπλοῖ, εὔθυμοι, δωροδόκοι καὶ ἐς τὴν δίαιταν ἁβροί· τοῦτο δέ, ὡς ἐκ θανάτου αὖθις ἐσόμενοι, ἄδην χρέονται τῇ παρούσῃ ζωῇ. ἀπέσκηψε πολλοῖσι ἐς ὕδρωπα ἡ ποδάγρη, ἄλλοτε δὲ ἐς ἆσθμα· καὶ τῶνδε ἄφυκτος ἡ διαδοχή. Περὶ ἐλέφαντος.

2.13.1 Ἐλέφαντι τῷ πάθεϊ καὶ τῷ θηρίῳ τῷ ἐλέφαντι ξυνὰ μυρία καὶ ἰδέῃ καὶ χροιῇ καὶ μεγέθεϊ καὶ βιοτῇ· ἀτὰρ οὐδὲ ἄλλῳ τῳ ἴκελα, οὔτε τὸ πάθος πάθεϊ, οὔτε τὸ ζῶον ζώῳ. ἐλέφας μέν γε τὸ θηρίον καὶ κάρτα διαφέρων· πρώτιστα μέν γε μέγιστον καὶ πάχιστον· μεγέθεϊ μὲν ὁκόσον ἂν ζῶον ἐπ’ ἄλλῳ ζώῳ πυργηδὸν ἀναθείης μέγα· πάχιστον δὲ ὡς πλεῦνα ζῶα πάχιστα, εἰ παράλληλα ξυνθείης.

2.13.2 ἀτὰρ οὐδὲ ἰδέην κάρτα τῳ ἴκελος· χροιὴν μὲν μέλανες κατακορέως ἅπαντες καὶ δι’ ὅλου τοῦ σκήνεος. ἵππος μέν γε ἄλλος μὲν λευκότατος, ὅκως οἱ Θρήϊκες Ῥήσου· ἄλλοι δὲ πόδαργοι, ὅκως Μενέλεω Πόδαργος. οἱ δὲ ξανθοί, ὅκως ἑκατὸν καὶ πεντήκοντα· ἄλλοι δὲ κυάνεοι, ἵππῳ δ’ εἰσάμενος παρελέξατο κυανοχαίτης. ὧδε καὶ βόες, ὧδε καὶ κύνες ἠδὲ ὁκόσα ἀνὰ τὴν γῆν ἑρπετὰ καὶ ζῶα φέρβεται.

2.13.3 ἐλέφαντες δὲ μοῦνοι μέλανες, ζοφοειδέες τὴν χροιήν, νυκτὶ δὲ καὶ θανάτῳ ἴκελοι· ἰδέην δέ, κάρηνα μὲν κατέχων καὶ πρόσωπα ἄσημα, ἀΐδηλα τὴν μορφήν, ἐπ’ αὐχένι σμικρῷ, ὡς δοκέειν τὴν κεφαλὴν ἐπὶ τοῖσι ὤμοισι ἱζάνειν· καὶ ὧδε οὐκ ἔκδηλον. ὦτα γὰρ μεγάλα, πλατέα, πτερυγώδεα, μέσφι κληΐδων τε καὶ στέρνων· ἃ ἔκρυψε τὸν αὐχένα 〈ξὺν〉 τοῖσι ὤμοισι, ὅκως νῆες λαίφεσι. κέρατα δὲ θῶμα διάλευκα ὁ ἐλέφας ἐπὶ μελαντάτῳ· μετεξέτεροι τάδε ὀδόντας κικλήσκουσι· τάδε μοῦνα λευκότατα, ὅκως οὐδενὸς ἄλλου γε οὐδέν, οὐδὲ λευκοῦ ζώου.

2.13.4 καὶ τάδε οὐχ ὑπὲρ μέτωπα καὶ κροτάφους, ὅκως τοῖσι κερασφόροισι ἡ φυή, ἀλλὰ κατὰ στόμα καὶ τὴν ἄνω γνάθον, ὄρθια μὲν ἐς τὸ πρόσθεν οὐ κάρτα, ἀλλὰ ἄνω σμικρόν τι καμπύλα, ὅκως ἐντύσσεσθαι ἐκ τοῦ ὀρθίου ἐνείη καὶ ἄρασθαι ἄχθος ἐν τοῖσι ὀδοῦσι σιμοῖσι. μεγάλα δὲ τὰ κέρατα, μῆκος μὲν ὁκόσον ὀργυιὴν οἱ μέσοι· ἄλλοι δὲ πολλόν τι τουτέων μέζους μέσφι διπλῶν. προβολὴν δ’ ἴσχει ἡ ἄνω γνάθος ἀπὸ τοῦ χείλεος μακρήν, ἀνόστεον, σκολιήν, ἑρπετώδεα. δοιαὶ δὲ ἐπὶ τοῦ ἄκρου τῆς προβολῆς ἔασι ἐκτρήσιες, καὶ τάσδε διαμπερὲς μέσφι τοῦ πνεύμονος ἐτέτρηνεν ἡ φύσις, ὅκως αὐλὸν διφυέα.

2.13.5 χρέεται δὲ τὸ ζῶον ἐς ἀναπνοήν, ὅκως ῥινί, τῇδε τῇ σύριγγι· ἀτὰρ καὶ χερσὶ τῇδε, καὶ κωθωνίην τε γὰρ λάζοιτο, ὁκότε θέλει, τῇ προβολῇ· ἀμφιλαμβάνει τε καὶ ἴσχει κραταιῶς, καὶ οὐκ ἄν τις ἀφέλοιτο αὐτέου βίῃ, εἰ μὴ κρέσσων ἄλλος ἐλέφας. ἀτὰρ καὶ ποίην ἐς νομὴν τῇδε μαστεύει, οὐδὲ τῷ στόματι καὶ τοῖσι σμικροῖσι ὀδοῦσι [ἔσθει] σαρκάζει. πόδες γὰρ εὐμήκεες, ὕπερθεν τῆς γῆς πολλὸν τὸ ζῶον ἀνέχοντες· ἀτὰρ καὶ σμικρὸς αὐχὴν ὅκως ἕλεξα· οὔκουν δύναται τῷ

στόματι ἐς τὴν γῆν νέμεσθαι. ποτὶ καὶ ἡ τῶν κεράτων πρὸ τοῦ στόματος ἔκφυσις εἴργει τῆς ποίης ἅπτεσθαι τὸ στόμα.

2.13.6 τοιγαροῦν ἀνιμᾶται τῇ προβολῇ φόρτον μέγαν, ἔπειτα ὅκως ἀμαλλοδετῆρι τῇδε ξυνδήσας [τῷ στόματι] ἐντίθησι πολλὸν τῇ κοιλίῃ. εὖ γε οἱ πρῶτοι προβοσκίδα τήνδε καλέουσι· ἐπίπροσθεν γὰρ τοῦ ζώου ἥδε βόσκεται. ἀτὰρ οὐδὲ πιεῖν ἀπὸ λίμνης ἢ ποταμοῦ τῷ στόματι θέμις· ἡ ωὐτὴ γὰρ αἰτίη. ἀλλὰ ἢν διψῇ, ἐντίθεται μὲν τῷ ὕδατι τῆς προβοσκίδος ἄκρην τὴν ῥῖνα· ἔπειτα ὅκως ἀναπνέων ἀντὶ τοῦ ἠέρος τοῦ ὕδατος ἕλκει πολλόν· ἐπὴν δὲ πλήσῃ ὅκως κώθωνα τὴν ῥῖνα, τῷ στόματι ποταμηδὸν ἐγχέει· εἶτ’ αὖθις ἕλκει καὶ αὖθις ἐγχέει, ἔστ’ ἂν πλήσῃ ὅκως φορτίδος νηὸς τὴν γαστέρα.

2.13.7 ῥινὸν τρηχὺν καὶ πάχιστον, ὀχθώδεας ῥωγμοὺς ἴσχοντα, αὐλῶνας ἐπιμήκεας, ἑτέρας ἐντομὰς κοίλας, ἐπικαρσίους, ἄλλας δὲ λοξάς, βαθείας κάρτα, ἴκελον τὸ ξύμπαν τριπόλῳ νειῷ. τρίχες δὲ ἄλλοισι μὲν ζώοισι φύσει τοιαίδε αἱ χαῖται· ἐλέφαντι δὲ τόδε ἐστὶ ὁ χνοῦς. μυρίαι δὲ καὶ ἄλλαι παραλλαγαὶ πρὸς τὰ ἄλλα ζῶα· καὶ γὰρ ὀπίσω κοτὲ κατὰ γόνυ κάμπτει, ὅκως ἄνθρωπος, καὶ μαζὸν πρὸς τῇσι μασχάλῃσι ἴσχει ὅκως γυναῖκες.

2.13.8 ἀλλ’ οὔτοι μοι χρέος τὰ νῦν ἀμφὶ τοῦ ζώου γράφειν, πλὴν ὁκόσον ἐξ ἄλλων τε καὶ ἡ νοῦ- σος ὁ ἐλέφας καὶ ὁκόσα ἴκελα ἡ ἰδέη τοῦ νοσοῦντος ἴσχει τῇ τοῦ ζώου φυῇ. ἐκίκλησκον δὲ καὶ λέοντα τὸ πάθος, τοῦ ἐπισκυνίου τῆς ὁμοιότητος εἵνεκεν, ἣν ὕστερον φράσω, ἠδὲ σατυρίησιν τῶν τε μήλων τοῦ ἐρυθήματος καὶ τῆς ἐς ξυνουσίην ὁρμῆς ἀσχέτου τε καὶ ἀναισχύντου. ἀτὰρ καὶ ἡράκλειον, ὅτι τοῦδε μέζον οὐδὲν οὐδὲ ἀλκιμώτερον.

2.13.9 μέγα μὲν ὧν τὸ πάθος ἐς δύναμιν· κτεῖναι γὰρ πάντων μᾶλλον δυνατώτατον· ἀτὰρ καὶ ἰδέσθαι αἰσχρὸν καὶ δειματῶδες τὰ πάντα ὡς ἐλέφας τὸ θηρίον. ἀλλ’ ἄφυκτος ἡ νοῦ- σος· τίκτεται γὰρ θανάτου ἐπ’ αἰτίῃ. ψῦξις ἐστὶ τοῦ ἐμφύτου θερμοῦ 〈οὐ〉 μικρά γε, ἢ καὶ πάγος, ὡς ἔν τι μέγα χεῖμα, εὖτε τὸ ὕδωρ τρέπεται ἐς χιόνα ἢ καὶ χάλαζαν ἢ κρύσταλλον ἢ πάγος. ἥδε ἐστὶ ἡ ξυνὴ θανάτου καὶ τοῦ πάθεος αἰτίη.

2.13.10 ἀτὰρ οὐδὲ ἴσχει τέκμαρ οὐδὲν ἡ ἀρχὴ τῆς νούσου μέγα, οὐδέ τι ξενοπρεπὲς κακὸν τὸν ἄνθρωπον ἐπιφοιτῇ· οὐδὲ ἐπὶ τῇσι ἐπιπολῇσι τοῦ σκήνεος φαντάζεται, ὡς ἰδεῖν τε εὐθὺς καὶ ἀρχομένῳ ἀρῆξαι· ἀλλὰ τοῖσι σπλάγχνοισι ἐμφωλεῦσαν ὅκως ἀΐδηλον πῦρ ἤδη τύφεται καὶ τῶν εἴσω κρατῆσαν αὖθίς κοτε ἐπιπολαίως ἐξάπτεται, τὰ πολλὰ μὲν ὅκως ἀπὸ σκοπιῆς τοῦ προσώπου ἀρχόμενον τηλεφανὲς πῦρ κακόν. μετεξετέροισι δὲ ἀπὸ τοῦ ἄκρου ἀγκῶνος, γούνατος, κονδύλων χειρῶν τε καὶ ποδῶν.

2.13.11 τῇδε καὶ ἀνέλπιστοι οἱ ἄνθρωποι, ὅτιπερ ὁ ἰητρὸς οὐ πρὸς τὰς ἀρχὰς τὰς ἀσθενεστάτας τοῦ πάθεος τῇ τέχνῃ χρέεται, ῥαθυμίῃ καὶ ἀγνοίῃ τῶν καμνόντων τῆς ξυμφορῆς. νωθέες μὲν γάρ, ὡς ἀπὸ σχεδίου προφάσιος, ὑπναλέοι, ἡσύχιοι, τὴν κοιλίην ἐπίξηροι. τάδε καὶ τοῖσι ὑγιαίνουσι κάρτα 〈οὐκ〉 ἀήθεα· ἐπὶ δὲ τῇσι αὐξήσεσι τοῦ πάθεος ἀναπνοὴ βρωμώδης ἐκ τῆς ἔνδον ἀναφορῆς τοῦ πνεύματος. τοιάδε ὁ ἀήρ, ἤ τι τῶν ἔξωθεν, αἰτίην ἴσχειν δοκέει.

2.13.12 οὖρα παχέα, λευκά, θολερά, οἷον ὑποζυγίου· †ἀφροδισίων ὠμῶν τε καὶ ἀπέπτων ἡ ἀνάδοσις, καὶ οὐδὲ τουτέων ἐστὶ αἴσθησίς τε καὶ μελέτη· οὐδὲ γὰρ οὐδ’ ἣν μὴ πέψωσι γιγνώσκουσι. ὁμοίη ἀπεψίη καὶ πέψις ἥδε· ἐς χρηστὸν γὰρ ἢ οἰκεῖον οὐ ξυνήθης αὐτέοισι ἡ πέψις, ἀνάδοσις δὲ ῥηϊδίη, ὅκως ἐς τὴν ἑωυτέων τροφὴν ἁρπάγδην ἕλκοντος τοῦ πάθεος. διὰ τόδε ἐπίξηροι τὴν κάτω κοιλίην· ὄχθοι ἐπανιστάμενοι ἄλλοι παρ’ ἄλλους, ξυνεχέες μὲν οὐδέκω, παχέες δὲ καὶ τρηχέες. καὶ τὸ μεσηγὺ τῶν ὄχθων ἔρρηκται, ὅκως τὸν ῥινὸν ἐλέφας.

2.13.13 εὐρεῖαι δὲ φλέβες, οὐ πλημύρῃ τοῦ αἵματος, ἀλλὰ τῷ τοῦ δέρματος πάχεϊ· οὐκ ἐς πολλὸν δὲ καὶ ἕδρα δηλοῖ τοῦ παντὸς ἐς ἴσον ὄχθον ἐγειρομένου. τρίχες ἐν μὲν τῷ παντὶ προτεθνήσκουσι, χερσί, μηροῖσι, κνήμῃσι, αὖθις ἥβῃ, γενείοισι ἀραιαί, ψεδναὶ δὲ καὶ ἐπὶ τῇ κεφαλῇ κόμαι· τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μᾶλλον πρόωροι πολιοὶ καὶ φαλάκρωσις ἁθρόη. οὐκ ἐς μακρὸν δὲ ἥβη καὶ γένειον ψιλά· εἰ δὲ καὶ ἐπιμίμνοιεν παῦραι τρίχες, ἀπρεπέστεραι τῶν ἀποιχομένων.

2.13.14 δέρμα τῆς κεφαλῆς κατερρωγὸς ἐς βάθος· ῥυτίδες συχναί, βαθεῖαι, τρηχεῖαι. ὄχθοι ἐς τὸ πρόσωπον σκληροί, ὀξέες· ἄλλοτε μὲν ἐς κορυφὴν λευκοί, ποιωδέστεροι δὲ τὴν βάσιν. σφυγμοὶ σμικροί, βαρέες, νωθροί, ὅκως διὰ ἰλύος μόλις κινεύμενοι. φλέβες κροτάφων ἐπηρμέναι, καὶ ὑπὸ τῆς γλώσσης· κοιλίαι χολώδεες. γλῶσσα χαλαζώδεσι ἰόνθοισι τρηχεῖα· οὐκ ἀδόκητον καὶ τὸ ξύμπαν σκῆνος ἔμπλεων τοιῶνδε ἔμμεναι· καὶ γὰρ καὶ τοῖσι κακοχύμοισι ἱερείοισι τὰ κρέα χαλάζης ἐστὶ ἔμπλεα.

2.13.15 ἢν δὲ πολλὸν αἴρηται ἀπὸ τῶν ἔνδοθεν ἡ πάθη καὶ ἐπὶ τοῖσι ἄκροισι φαίνηται, λειχῆνες ἐπὶ τοῖσι ἄκροισι δακτύλοισι· γούνασι κνησμοί, καὶ τῶν κνησμῶν ἅπτονται μεθ' ἡδονῆς. ἀμπίσχει δὲ ὁ λειχὴν καὶ γένειόν κοτε ἐν κύκλῳ. ἐρευθῆ δὲ καὶ μῆλα ξὺν ὄγκῳ οὐ κάρτα μεγάλῳ. ὄττιες ἀχλυώδεες, χαλκώδεες· ὀφρύες προβλῆτες, παχεῖαι, ψιλαί, βρίθουσαι κάτω, μεσοφρύων ξυνηγμένων ὀχθώδεες· χρῶμα πελιδνὸν ἢ μέλαν. ἐπισκύνιον ὂν μέγα ἕλκεται καλύπτειν ὄσσε, ὅκως τοῖσι θυμουμένοισι λέουσι· διὰ τόδε καὶ λεόντειον κικλήσκεται. τοιγαροῦν οὐ λέουσι οὐδὲ ἐλέφαντι μοῦνον, ἀλλὰ καὶ νυκτὶ θοῇ ἀτάλαντον ὑπώπια.

2.13.16 ῥῖνες ξὺν ὄγκοισι μέλασι, ὀκριοειδέες· χειλέων προβολὴ παχείη, τὸ δὲ κάτω πελιδνόν· ἔκρινες· ὀδόντες οὐ λευκοὶ μέν, δοκέοντες δὲ ὑπὸ μέλανος 〈τοῦ ἄλλου σώματος〉. ὦτα ἐρυθρά, μελανόεντα, κεκλασμένα, ἐλεφαντώδεα, ὡς δοκέειν μέγεθος ἴσχειν μέζον τοῦ ξυνήθεος· ἕλκεα ἐπὶ τῇσι βάσεσι τῶν ὤτων, ἰχῶρος ῥύσις, κνησμώδεα· ῥυσοὶ τὸ πᾶν σκῆνος ῥυτίσι τρηχείῃσι· ἀτὰρ καὶ ἐντομαὶ βαθεῖαι, ὁκοῖον αὔλακες μέλανες, τῶν ῥινῶν. διὰ τόδε καὶ [ὁ] ἐλέφας τοῦ πάθεος τοὔνομα. ἰχνέων καὶ πτερνέων μέσφι τῶν μέσων τῶν δακτύλων ῥήξιες. ἢν δὲ ἐπὶ μᾶλλον αὔξῃ τὸ κακόν, ἑλκώδεες τοὺς ὄχθους· μήλων, γενείου, δακτύλων, γονάτων κάκοδμα καὶ ἀναλθέα τὰ ἕλκεα.

2.13.17 ἄλλα γὰρ ἐπ' ἄλλοισι ἐξανίσταται, καὶ ἐπ' ἄλλοισι ἄλλα πρηΰνεται. ἤδη κοτὲ καὶ τῶν μελέων προαποθνήσκει τοῦ ἀνθρώπου ἄχρι ἐκπτώσιος, ῥίς, δάκτυλοι, πόδες, αἰδοῖα καὶ ὅλαι χεῖρες. οὐδὲ γὰρ θανατοῖ τὸ κακὸν ἐς ἀπαλλαγὴν βίου αἰσχροῦ καὶ ἀλγέων δεινῶν πρόσθεν ἢ ἐς μέλεα διατμηθῆναι τὸν ἄνθρωπον· ἀλλὰ μακρόβιόν ἐστι, ὅκως ἐλέφας τὸ ζῶον. ἢν δὲ καὶ ἄλγος ἀρτίως ἔῃ τῶν μελέων, πολλόν τι ἐπικόπτει βαρύτερον ἄλλῃ καὶ ἄλλῃ πλανεύμενον.

2.13.18 σιτίων ὄρεξις οὐκ ἀγεννής, ἄποιος ἡ γεῦσις, οὐδὲ τερπνὸν ἡ ἐδωδὴ καὶ ἡ πόσις· ἁπάντων δέ, ὑπ' ἀχθηδόνος, μῖσος· Ἀφροδίτης ἐπιθυμίη λυσσώδης· κόποι αὐτόματοι· μελέων ἑκάστου ἰδέη βαρέα καὶ τὸν ἄνθρωπον †ἀιχθὴς καὶ τὰ σμικρὰ μέλεα. ἀτὰρ καὶ τὸ σῶμα πρὸς ἅπαντα ἄχθεται· οὐ λουτροῖσι τέρπεται, οὐκ ἀλουσίῃ· οὐ τροφῇ, οὐκ ἀσιτίῃ· οὐ κινήσει, οὐκ ἠρεμίῃ. πᾶσι γὰρ ἐφέστηκεν ἡ νοῦ- σος. ὕπνος λεπτός, ἀγρυπνίη κακίων ἐν φαντασίῃ, δύσπνοια καρτερή· πνῖγες ὡς ἀπ' ἀγχόνης. ὧδε γοῦν τινες κατέστρεψαν τὸν βίον, νήγρετον ὕπνον ἐς θάνατον εὕδοντες.

2.13.19 τοιούσδε ὦν ἐόντας τίς οὐκ ἂν φύγοι ἢ τίς οὐκ ἂν ἐκτραπείη, κὴν υἱὸς ἢ πατὴρ ἔῃ, κὴν κασίγνητος τύχῃ; δέος καὶ ἀμφὶ μεταδόσιος τοῦ κακοῦ. πολλοὶ γοῦν ἐπ' ἐρημίης καὶ ἐς ὄρεα τοὺς φιλτάτους ἐξέθεσαν, οἱ μὲν ἐς χρόνον ἐπαρήγοντες τῷ λιμῷ, οἱ δὲ ὡς ἥκιστα σφέας ἐθέλοντες ἐκθανεῖν. λόγος δὲ ὡς τῶν ἐπ' ἐρημίης ἀφιγμένων τις ἐξερπύσαντα ἐκ τῆς γῆς ἔχιν ἰδών, ὑπ' ἀνάγκης τοῦ λιμοῦ ἢ τῷ πάθεϊ ἀχθεσθείς, ὡς ἀμείψασθαι τὸ κακὸν κακῷ, ζῶντος ἐνέφαγε τοῦ ἔχιος, καὶ οὐ πρόσθεν ἐτελεύτησε πρὶν ἢ πάντα αὐτῷ διασαπῆναι καὶ ἀποστῆναι τὰ μέλεα.

2.13.20 ἄλλον δὲ ἰδεῖν ἔχιν ἐς πίθον γλεύκεος ἑρπύσαντα, πιόντα τε τοῦ γλεύκεος ἐς κόρον ἀποβλύσαι, πολλὸν δὲ καὶ τοῦ ἰοῦ ξυνεκχεῖν τῷ γλεύκεϊ· ἐπεὶ δὲ ἀπεπνίγη τὸ θηρίον ἐν τῷ γλεύκεϊ, χανδὸν καὶ πολλὸν τοῦ γλεύκεος πιεῖν τὸν ἄνθρωπον, ἀπαλλαγὴν τοῦ βίου καὶ τοῦ πάθεος διζήμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς δὲ ἐς κόρον ἧκε καὶ μέθην, ἔκειτο μὲν χαμαὶ τὰ πρῶτα ὅκως ἀποθνήσκων· ἐπεὶ δὲ ἐκ τοῦ κάρου καὶ τῆς μέθης ἐξήγρετο, περιερρύησαν μὲν τὰ πρῶτα αἱ κόμαι, ἔτι δὲ δάκτυλοί τε καὶ ὄνυχες, ἑξῆς δὲ περιτετήκεισαν πάντα.

2.13.21 ἐπεὶ δὲ ἔτι ἐν σπέρματι ἡ δύναμις ἦν, ἐκηροπλάστεε αὖθις ὅκως ἐκ γενετῆς τὸν ἄνθρωπον ἡ φύσις· ἐξέθρεψε μὲν ἄλλας κόμας καὶ ὄνυχας νέους καὶ σάρκα καθαρήν, καὶ ἐξέδυ μὲν τὸ παλαιὸν ῥῆνος, ὡς γῆρας ἑρπετοῦ· ἐπανεκλήθη δὲ [ὡς] ἐς φῦμα ζωῆς ὅκως ἄλλος ἄνθρωπος. ὅδε μὲν ὦν ὁ μῦθος οὐ κάρτα μὲν ἀτρεκής, οὐ πάγχυ δὲ ἄπιστος· κακὸν γὰρ κακῷ βλαφθῆναι πιστόν· τὴν φύσιν δὲ ἐπὶ τῷ ἐόντι ζωπύρῳ ἀνανεῶσαι τὸν ἄνθρωπον, οὐκ ἄπιστον ἐς τέρατος ἰδέην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org